# XIII.

# ANACREON.

## I. *ΜΕΛΗ.*

### *ΕΙΣ ΑΡΤΕΜΙΝ.*

1. [1.]*)

*Γουνοῦμαί σ', ἐλαφηβόλε,*
*ξανθὴ παῖ Διός, ἀγρίων*
*δέσποιν' Ἄρτεμι θηρῶν·*
*ἥ κου νῦν ἐπὶ Ληθαίου*
*δίνῃσι θρασυκαρδίων*
*ἀνδρῶν ἐςκατορᾷς πόλιν*
*χαίρουσ'· οὐ γὰρ ἀνημέρους*
*ποιμαίνεις πολιήτας.*

---

Fr. 1. Scholiast. Hephaest. 125., ubi Hephaestio: *Κοινὸν δέ ἐστι κατὰ σχέσιν τὸ δύο συστήμασιν ὑποπεπτωκός, καθάπερ τὸ πρῶτον Ἀνακρέοντος ᾆσμα· Γουνοῦμαι — θηρῶν. καὶ τὰ ἑξῆς· κατὰ μὲν γὰρ τὴν νῦν ἔκδοσιν ὀκτάκωλός ἐστιν ἡ στροφή, καὶ τὸ ᾆσμά ἐστι μονοστροφικόν. Δύναται δὲ καὶ ἑτέρως διαιρεῖσθαι εἴς τε τριάδα καὶ πεντάδα ἡ στροφή· ὥςτε Φερεκράτειον εἶναι τὸ τελευταῖον τοῦ συστήματος, τοῦ ἐκ τῶν τριῶν κώλων ἢ τῶν πέντε.* Scholiasta ad illum locum integros hos versus servavit, et v. 3. et 8. repetit. Adde praeterea Ioann. Sicel. ed. Walz. VI, p. 128.: *Ἡ μὲν στάσις ἐπῳδοὺς ᾄδει τελείους, ἡ δὲ περικύκλησις περίοδον, ἥτις ἐστὶ τοῦ τελειοτέρου μέλους ἀπηρτισμένη σύνοδος, ὡς ὁ Ἀνακρέων· Γουνοῦμαι — θρασυκαρδίων. τοῦτο στροφή· εἶτα ἡ ἀντιστροφὴ πρὸς τὸ εἴδωλον· Οὐ γὰρ ἐς ἀνημ. π. πολιήτας.* V. 1. affert Attil. Fortunat. p. 356. 357. 358. ed. Gaisf. — V. 3. legitur apud Schol. Eurip. Hippol. 58. Hom. Il. *φ*. 470. et Eustath. p. 1247. 9. — V. 4. *ἥ κου* scripsi, Schol. Heph. et Ioan. Sic. *ἵκου.* affert Hephaest. p. 8.: *ἐν δὲ ἀντισπαστικῷ Ἀνακρέοντος· ἵκου νῦν ἐπὶ Ληθαίου,* ubi codd. *ἥκου* vel *οἴκου.* — V. 5. *θρασυκαρδίων* Ioan. Sicel., *θρεοκαρδίων* Schol. Hephaest. — V. 6. *ἐςκατορᾷς* scripsi, Schol. Heph. *ἐγκαθόρα,* quod ferri nequit. conferas Apollon. de Syntaxi p. 55. Bekker. *Τὰ ψιλὰ εἰς δασέα μετατιθέασιν οἱ Ἴωνες καὶ τὰ δασέα εἰς ψιλά, ὡς ἐπὶ τοῦ τάφος τεθηπότες, ἐνταῦθα ἐνθαῦτα, καὶ ἐπὶ τῶν συναλοιφῶν· Ἐςκατορᾷς πόλιν.*

---

*) Numeri adjecti sunt editionis meae.

### ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

2. [2.]

*Ὦναξ, ᾧ δαμάλης Ἔρως*
*καὶ Νύμφαι κυανώπιδες*
*πορφυρέη τ' Ἀφροδίτη*
*συμπαίζουσιν· ἐπιστρέφεαι δ'*
*ὑψηλῶν κορυφὰς ὀρέων,*
*γουνοῦμαί σε· σὺ δ' εὐμενής*
*ἔλθ' ἡμῖν, κεχαρισμένης δ'*
*εὐχωλῆς ἐπακούειν.*
*Κλευβούλῳ δ' ἀγαθὸς γενεῦ*
*σύμβουλος· τὸν ἐμὸν δ' ἔρωτ',*
*ὦ Δεύνυσε, δέχεσθαι.*

3. [3.]

*Κλευβούλου μὲν ἔγωγ' ἐρῶ,*
*Κλευβούλῳ δ' ἐπιμαίνομαι,*
*Κλεύβουλον δὲ διοσκέω.*

4. [4.]

*Ὦ παῖ παρθένιον βλέπων,*
*δίζημαί σε, σὺ δ' οὐ κοεῖς*
*οὐκ εἰδώς, ὅτι τῆς ἐμῆς*
*ψυχῆς ἡνιοχεύεις.*

---

Fr. 2. Dio Chrys. Or. II, 94. Reisk.: *Μηδὲ οὖν τοὺς θεοὺς καλεῖν οὕτως εὐχόμενον, ὥςπερ ὁ Ἰώνων ποιητὴς Ἀνακρέων· Ὦναξ κτλ.* — V. 1. *ᾧ*, ed. Ven. male *ὦ*. — V. 3. respicit Aelian. Var. Hist. IV. 2. — V. 4. *συμπαίζουσιν* ed. Ven., vulgo *συμπαίζουσ'*. ib. *ἐπιστρέφεαι δ' ὑψηλῶν κορυφὰς ὄρεων* Barnesius, vulgo *ἐπιστρέφεται ὑψηλῶν ὀρέων κορυφάς.* — V. 9. *γενεῦ* scripsi, vulgo *γένου.* — V. 11. *ὦ Δεύνυσε* scripsi, Emperius *ὦ Διόνυσε*, legebatur *ὧδ' οὐ νῦν σε* vel *ὧδ' εὖ νῦν σε.*

Fr. 3. Herodianus *περὶ σχημ.* p. 57, 5. *περὶ πολυπτώτου* — *Παρὰ δὲ Ἀνακρέοντι ἐπὶ τριῶν· Κλευβούλου κτλ.* — *διοσκέω* scripsi, codd. *διός κνέων*, *διοςκνέω*, vel *διϊδεῖν ἐπιποθῶ.* Cf. Hesychius: *Διόσκειν (διοσκεῖν)· διαβλέπειν συνεχῶς τὴν ὅρασιν μεταβάλλοντα.*

Fr. 4. Athen. XIII, 564, D.: *Ὁ δ' Ἀνακρέων τί φησίν; Ὦ παῖ κτλ.* Ad Cleobulum videtur scriptum carmen, vid. Max. Tyr. VIII. 96.: *μεστὰ αὐτοῦ τὰ ᾄσματα τῶν Κλεοβούλου ὀφθαλμῶν.* — V. 2. *οὐ κοεῖς* scripsi, codd. *οὐκ ἀΐεις*, Erfurdtius *οὐ κλύεις.*

5. [6.]

Ἀλλ' ὦ τρὶς κεκορημένε
Σμερδίη.

6. [7.]

Μεὶς μὲν δὴ Ποσιδηϊὼν
ἕστηκεν, νεφέλη δ' ὕδωρ
* * *, βαρὺ δ' ἄγριοι
χειμῶνες παταγεῦσιν.

7. [131.]

Σὺ γὰρ ἦς ἔμοιγ'
ἀστεμφής.

8. [8.]

Ἔγωγ' οὔτ' ἂν Ἀμαλθίης
βουλοίμην κέρας οὔτ' ἔτεα

---

Fr. 5. Eustath. Od. p. 1542. 47.: *Καὶ ἐν τῷ· Ἀλλ' ὦ κτλ. παρὰ Ἀνακρέοντι ἤγουν πολλάκις ἐκσεσαρωμένε.* Respicit p. 725. 35.

Fr. 6. Schol. Il. o, 192.: *Ἀμέλει καὶ πύλας οὐρανοῦ τὰ νέφη ὀνομάζει (Ὅμηρος)· Ἀνακρέων· Μεὶς κτλ.* Eadem Eustath. p. 1011, 63.: *Διὸ καὶ οἱ Ἀττικοὶ τὸν περὶ χειμερίους τροπὰς μῆνα Ποσειδεῶνα καλοῦσιν, ὡς Ἀνακρέων· Μεὶς κτλ.* — V. 1. *Ποσιδηϊὼν* scripsi, legebatur *Ποσειδηϊών.* — V. 2. *νεφέλη δ' ὕδωρ* Schol., *νεφέλαι δ' ὕδατι* Eustath. — V. 3. excidit verbum, fortasse *καταῤῥεῖ.* ib. *βαρὺ δ' ἄγριοι* Schol., *βαρύνονται, ἄγριοι δὲ* Eustath. — V. 4. *παταγεῦσιν* Schneidewinus, *παταγοῦσι* Eustath., *κατάγουσι* Schol.

Fr. 7. Schol. Hom. Il. III, 219.: *ἡ διπλῆ πρὸς τὸ ἀστεμφές, ὅτι τὸ ἀκίνητον· ὁ γὰρ Ἀνακρέων· σὺ γὰρ κτλ.*

Fr. 8. Strabo III, p. 151.: *Ὑπολαμβάνοι ἄν τις ἐκ τῆς πολλῆς εὐδαιμονίας καὶ μακραίωνας ὀνομασθῆναι τοὺς ἐνθάδε ἀνθρώπους καὶ μάλιστα τοὺς ἡγεμόνας, καὶ διὰ τοῦτο Ἀνακρέοντα μὲν οὕτως εἰπεῖν· Ἐγώ τ' ἂν οὔτ' κτλ.* Respiciunt Plin. N. H. VII, 49. „*Anacreon poeta Arganthonio Tartessiorum regi CL. tribuit annos, Cinyrae Cypriorum X annis amplius, Aegimio CC.*“ Cf. Lucian. Macrob. c. 4. Phlegon. Trall. Macrob. c. 4. Eustath. ad Dionys. Per. 332.: *Κατὰ δέ τινας Ἀβύλη, παρ' ἣ καὶ Ταρτησσός, ἣν καὶ ὁ Ἀνακρέων φησὶ πανευδαίμονα· αὕτη γὰρ βασιλεύει.* ubi videtur legendum *ταύτης γὰρ Ἀργανθώνιον βασιλεύειν.* Fortasse autem etiam in Elegiis Anacreon urbem commemoraverat, et hujus poetae fortasse est fragmentum ap. Steph. Byz. v. *Ταρτησσός·*

*Ταρτήσσιον ὄλβιον ἄστυ.*

V. 1. *ἔγωγ' οὔτ' ἂν* Mehlhornius, libri *ἐγώ τ' ἂν οὔτ'.* — V. 2. *οὔτ' ἔτεα* Casaubonus, libri *οὔτε τά.*

πεντήκοντά τε καὶ ἑκατόν
Ταρτησσοῦ βασιλεῦσαι.

9. [9.]

. . . Τί μὴ πέτεαι
συρίγγων κοϊλώτερα
στήθεα χρισάμενος μύρῳ;

10. [10.]

Ὁ δ' ὑψηλὰ νενωμένος.

11. [14.]

Πολλὰ δ' ἐρίβρομον
Δεύνυσον.

12. [11.]

Ἔρως παρθένιος πόθῳ
στίλβων καὶ γεγανωμένος.

13. [15.]

Σφαίρῃ δηὖτέ με πορφυρέῃ
βάλλων χρυσοκόμης Ἔρως
νήνι ποικιλοσαμβάλῳ

---

Fr. 9. Athenaeus XV, p. 687, E.: Καὶ ὁ σοφὸς δ' Ἀνακρέων λέγει που· Τί μὴν πέτεαι κτλ. τὰ στήθη παρακελευόμενος μυροῦν, ἐν οἷς ἐστιν ἡ καρδία, ὡς καὶ ταύτης δηλονότι παρηγορουμένης τοῖς εὐώδεσι. — V. 1. τί μὴ Casaubonus, libri τί μήν. — V. 2. κοϊλώτερα scripsi, vulgo κοιλότερα.

Fr. 10. Etymol. M. p. 601, 20.: Νένωται — καὶ παρ' Ἀνακρέοντι ἡ μετοχή· ὁ δ' ὑψ. ν.

Fr. 11. Etym. M. p. 259, 28.: Δεύνυσος· ὁ Διόνυσος. Ἀνακρέων· Πολλὰ δὲ ἐρ. Δ. τοῦ ῑ τραπέντος εἰς ε̄ γίνεται Δεόνυσος, οὕτω γὰρ Σάμιοι προφέρουσιν καὶ συναιρέσει Δεύνυσος, ὡς Θεόδοτος Θεύδοτος.

Fr. 12. Plutarch. Erotic. c. 4.: Οὕτως ἔρως ὁ γνήσιος ὁ παιδικός ἐστιν, οὐ πόθῳ στίλβων, ὡς ἔφη τὸν παρθένιον Ἀνακρέων, οὐδὲ μύρων ἀνάπλεως καὶ γεγανωμένος, ἀλλὰ λιτὸν αὐτὸν ὄψει καὶ ἄθρυπτον ἐν σχολαῖς φιλοσόφων. Unde duos versiculos restitui.

Fr. 13. Athen. XIII, p. 599, C.: Χαμαιλέων ἐν τῷ περὶ Σαπφοῦς καὶ λέγειν τινάς φησιν εἰς αὐτὴν πεποιῆσθαι ὑπὸ Ἀνακρέοντος τάδε· Σφαίρῃ κτλ. Ipsius haud dubie Anacreontis carmen est, sed male ad Sapphonem poetam respexisse putaverunt. — V. 1. δηὖτε Seidlerus, vulgo δεῦτε. ib. πορφυρέῃ βάλλων Pauwius, codd. πορφύρ' ἐνιβάλλων. — V. 3. νήνι ποικιλοσαμβάλῳ Seidlerus, codd. νηνι (νυνὶ) ποικίλος λαμβάνω. Etym. Havn. ad Etym. M. p. 966.

*συμπαίζειν προκαλεῖται·*
*ἡ δ', ἐστὶν γὰρ ἐπ' εὐκτίτου*
*Λέσβου, τὴν μὲν ἐμὴν κόμην,*
*λευκὴ γάρ, καταμέμφεται,*
*πρὸς δ' ἄλλον τινα χάσκει.*

14.

*Οὐ δηὖτ' ἔμπεδός εἰμι,*
*οὐδ' ἀστοῖσι προσηνής.*

15. [51.]

*Μυθῖται δ' ἐνὶ νήσῳ*

---

*νήνι ποικίλους ἀμβάλω.* — V. 5. *εὐκτίτου* Barnesius, vulgo *εὐκτικοῦ.* — V. 8. *ἄλλον* Pauwius, vulgo *ἄλλην.* Ceterum Anacreontis fortasse versus est ap. Etymol. M. p. 225, 7.:

*Γέλαν δ', ἀθάνατοι θεοί.*

item qui leguntur in Crameri Anecd. T. III, p. 237.; *Ζήν, Ζηνός ἐφύλαξαν οἱ παλαιοὶ Ἴωνες τὴν κλίσιν, οἷον·*

*ἐπὶ δ' ἴαχε*
*Ζηνὸς ὑψερεφὴς δόμος.*

legitur *ἐπεὶ δ' ἴσχε Ζ. ὑψηρέφης δόμοις ζάρῆς.* Sed quae ibidem leguntur, alius sunt ionici poetae: *καὶ ἔτι μεταγενέστεροι οἱ Ἴωνες διὰ τοῦ ᾱ Ζάν, ὁμοίως τῷ Λύκανι·*

*Κλῦθί μοι Ζανός τε κούρη.*
*Ζανί τ' ἐλευθερίῳ.*

Ita corrigo, legebatur: *Ζὰν τῷ Λύκανι — κουρη ξαντελευθεριω.* At Anacreontis fortasse versus sunt apud Hephaest. p. 33.:

*Κάπρος ἠνίχ' ὁ μαινόλης*
*ὀδόντι σκυλακοκτόνῳ*
*Κύπριδος θάλος ὤλεσεν.*

Fr. 14. Chrysippus *περὶ ἀποφατικῶν* c. 13.: *Εἰ οὕτως ἀποφαίνοιτ' ἄν τις· δεῦτ' ἔμπεδός εἰμι οὐδ' ἀστοῖσι προσηνής, Ἀνακρέων ἀπεφήνατο· οὐ δεῦτ' ἔμπεδος κτλ.* Scripsi *δηὖτ'*.

Fr. 15. Schol. Hom. Od. XXI. 71.: *Μύθου· νῦν τῆς στάσεως, ὅθεν καὶ Ἀνακρέων τοὺς ἐν τῇ Σάμῳ ἁλιεῖς ὄντας στασιαστάς φησιν· μυθηταὶ δ' ἀννήσῳ μεγίστῃ διέπουσιν ἱερὸν ἄστυ.* Eustath. p. 1901. 44. affert *μυθηταὶ δ' ἐν νήσῳ διέπουσιν ἱερὸν ἄστυ.* — V. 1. *μυθῖται* scripsi, cf. Apoll. Lex. Hom. p. 558.: *Μῦθος, λόγος, ὁ δὲ Ἀνακρέων μυθιήτας τοὺς στασιώτας εἶπεν.* et Etymol. M. p. 593. 20: *ὅθεν καὶ Ἀνακρέων ἐν τῷ δευτέρῳ τῶν μελῶν μυθίας* (l. *μυθίτας*) *τοὺς στασιαστὰς ἐπὶ τῶν ἁλιέων λέγει.* Cf. Apollon. in Bekk. Anecd. T. II. p. 524. 2. Adde Etym. Gud. p. 84. 1. ib. *ἐνὶ νήσῳ* scripsi.

*μέγιστοι διέπουσιν*
*Νυμφέων ἱερὸν ἄστυ.*

16. [16.]

*Ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλάς,*
*οἴνου δ' ἐξέπιον κάδον, νῦν δ' ἁβρῶς ἐρόεσσαν*
*ψάλλω πηκτίδα τῇ φίλῃ κωμάζων παϊδὶ ἁβρῇ.*

17. [5.]

*Ψάλλω δ' εἴκοσι Λυδὸν*
*χορδῇσιν μαγάδην ἔχων, ὦ Λεύκασπι, σὺ δ' ἡβᾷς.*

18. [17.]

*Ἀρθεὶς δηῦτ' ἀπὸ Λευκάδος*
*πέτρης ἐς πολιὸν κῦμα κολυμβῶ μεθύων ἔρωτι.*

19. [18.]

*Τίς ἐρασμίην*
*τρέψας θυμὸν ἐς ἥβην τερένων ἡμιόπων ὑπ' αὐλῶν*
*ὀρχεῖται;*

---

V. 2. *μέγιστοι* correxi, legebatur *μεγίστη*, quod ferri nequit. — V. 3. *Νυμφέων* addidi, vid. Hesychius: *Ἄστυ Νυμφέων· τὴν Σάμον, Ἀνακρέων, ἐπεὶ ὕστερον εὔυδρος ἐγένετο.* Ceterum videtur ad idem carmen pertinere, ad quod Fr. 14.

Fr. 16. Hephaestio p. 59.: *Τὸ δὲ τὴν δευτέραν ἰαμβικὴν ἔχον καλεῖται Πριάπειον, οἷον· Ἠρίστησα μὲν κτλ. Πολυσχημάτιστον μὲν οὖν αὐτὸ ποιοῦσιν, ἀλλὰ τόγε καθαρῶς ἐσχηματισμένον ἐστὶ τοιοῦτον.* Anacreontis esse versus docet Athenaeus XI. p. 472. E.: *Κάδος· Σιμμίας ποτήριον, παρατιθέμενος Ἀνακρέοντος· ἠρίστησα — κάδον.* Eadem repetit XIV. p. 646. D. Cf. Pollux X. 70.: *καὶ Ἀνακρέων δέ φησιν· Οἴνου δ' ἐξέπιον κάδον.* et Apollon. Lex. Homer. v. *χάσασθαι.* — V. 1. *λεπτοῦ μικρὸν* Hephaestio, *λεπτὸν* Athenaeus. — V. 2. *ἐξέπιον,* Athenaeus altero loco *ἔπιον.* — V. 3. *παϊδὶ ἁβρῇ* Hermannus, Hephaestionis libri *παιδὶ ἅβρῃ, ποδὶ ἱ ἅβρῃ, ποδὶν ἁβρῶς.*

Fr. 17. Athen. XIV. p. 634 C.: *ὁ μὲν γὰρ ἥδιστος Ἀνακρέων λέγει που· Ψάλλω κτλ.* — V. 1. *Λυδὸν* adjeci, cf. Athen. XIV. p. 634. F.: *ἡ γὰρ μάγαδις ὄργανόν ἐστι ψαλτικόν, ὡς Ἀνακρέων φησί, Λυδῶν τε εὕρημα.* — V. 2. *μαγάδην* scripsi, vulgo *μάγαδιν.* vid. Pollux IV. 61.: *μαγάδην δ' ὀνομάζει μὲν Ἀνακρέων.*

Fr. 18. Hephaestio p. 130.: *Ὅταν δ' ἔμπαλιν ἡ τάξις ᾖ, προῳδὸς καλεῖται, ὡς παρ' Ἀνακρέοντι· Ἀρθεὶς κτλ.* V. 1. *δηῦτ'* scripsi, vulgo *δ' ηὖτ'.*

Fr. 19. Athen. IV, p. 177, A.: *Οἴδαμεν δὲ καὶ τοὺς ἡμιόπους καλουμένους, περὶ ὧν φησιν Ἀνακρέων· Τίς ἐρ. τρέψας θ. ἐςέβην τέρεν' ὡς ἡμίοπον ὑπ' αὐλῶν ὀρχ.* V. 2. *ἐς ἥβην* correxi, idemque Mehlhornius emendavit, *τερένων ἡμιόπων* Casaubonus cor-

*ΕΙΣ ΑΡΤΕΜΩΝΑ.*

20. [19.]

*Ξανθῇ δέ γ' Εὐρυπύλῃ μέλει*
*ὁ περιφόρητος Ἀρτέμων·*
*πρὶν μὲν ἔχων βερβέριον, καλύμματ' ἐσφηκωμένα,*
*καὶ ξυλίνους ἀστραγάλους ἐν ὠσὶ καὶ ψιλὸν περὶ*
*πλευρῇσι δέῤῥιον βοός,*
*νήπλυτον εἴλυμα κακῆς ἀσπίδος, ἀρτοπώλισιν*
*κἠθελοπόρνοισιν ὁμιλέων ὁ πονηρὸς Ἀρτέμων,*
*κίβδηλον εὑρίσκων βίον·*
*πολλὰ μὲν ἐν δουρὶ τιθεὶς αὐχένα, πολλὰ δ' ἐν τροχῷ,*
*πολλὰ δὲ νῶτον σκυτίνῃ μάστιγι θωμιχθείς, κόμην*
*πώγωνά τ' ἐκτετιλμένος·*
*νῦν δ' ἐπιβαίνει σατινέων, χρύσεα φορέων καθέρματα*
*παῖς Κύκης καὶ σκιαδίσκην ἐλεφαντίνην φορέει*
*γυναιξὶν αὔτως.*

21. [20.]

*Σίμαλον εἶδον ἐν χορῷ πηκτίδ' ἔχοντα καλήν.*

---

rexit, cf. Athen. IV. p. 182, C.: *εἰσὶ δ' οἱ αὐτοὶ τοῖς παιδικοῖς καλουμένοις, οἷς οὐκ οὖσιν ἐναγωνίοις πρὸς τὰς εὐωχίας χρῶνται, διὸ καὶ τέρενας αὐτοὺς (ἡμιόπους) κέκληκεν ὁ Ἀνακρέων.*

Fr. 20. Athen. III, 533, E.: *Χαμαιλέων δ' ὁ Ποντικὸς ἐν τῷ περὶ Ἀνακρέοντος προθεὶς τό· Ξανθῇ δ' Εὐρυπύλῃ μ. ὁ π. Ἀ., τὴν προσηγορίαν ταύτην λαβεῖν τὸν Ἀρτέμωνα διὰ τὸ τρυφερῶς βιοῦντα περιφέρεσθαι ἐπὶ κλίνης. καὶ γὰρ Ἀνακρέων αὐτὸν ἐκ πενίας εἰς τρυφὴν ὁρμῆσαί φησιν ἐν τούτοις· Πρὶν μὲν κτλ.* — V. 1. *Ξανθῇ δέ γ'* scripsi, vulgo *ξανθῇ δ'*, sed unus cod. *ξάνθῃ δ' ἐν.* — V. 2. *περιφόρητος Ἀρτέμων* respiciunt Schol. Arist. Acharn. 815. Plutarch. vit. Pericl. c. 27. — V. 3. *καλύμματ'* Casaubonus, libri *κάλυμμά τ'.* — V. 5. *δέῤῥιον* de conjectura adjeci. — V. 6. *νήπλυτον* Schoemannus, codd. *νεόπλουτον*, epit. *νεόπλυτον.* ib. *εἴλυμα*, unus cod. *εἴλημα.* ib. *ἀρτοπώλισιν* unus cod., vulgo *ἀρτοπώλοισιν* vel *ἀρτοπώλησιν.* — V. 7. *κἠθελοπόρνοισιν* Elmslejus, vulgo *καὶ ἐθελοπόρνοισιν*, unus cod. *καὶ ἐθελοπόροισιν.* ib. *Ἀρτέμων* Casaubonus, codd. *ὁ Ἀρτέμων.* — V. 10. *δὲ νῶτον* scripsi, codd. *δὲ νώτῳ, δ' ἐν ὠτώ, δ' ἐν νώτῳ.* ib. *σκυτίνῃ* Elmslejus, libri *σκυτίνῳ* vel *σκυθίνῳ.* — V. 12. *φορέων* Casaubonus, libri *φαρέων.* — V. 13. *παῖς* Dindorfius, vulgo *παῖς.* ib. *φορέει* Dindorfius, vulgo *φορεῖ.* — V. 14. fortasse scribendum: *γυναιξὶν αὔτως Ἀρτέμων.*

Fr. 21. Hephaestio p. 101.: *Ὥσθ' ὅλον αὐτὸ χοριαμβικὸν ἐπίμικτον γενέσθαι, ὅμοιον τῷ Ἀνακρεοντείῳ τῷδε· Σίμαλον κτλ.*

22. [21.]

Ἐκ ποταμοῦ 'πανέρχομαι πάντα φέρουσα λαμπρά.

23. [22.]

Ἀναπέτομαι δὴ πρὸς Ὄλυμπον πτερύγεσσι κουφαῖς
διὰ τὸν Ἔρωτ'· οὐ γάρ ἐμοὶ παῖς ἐθέλει συνηβᾶν.

24. [23.]

Ὅς μ' ἐςιδὼν γένειον
ὑποπόλιον χρυσοφαέννων πτερύγων ἀήταις
παραπέταται.

25. [24.]

Χεῖρά τ' ἐν ἠγάνῳ βαλεῖν.

26. [25.]

Ἤλιε καλλιλαμπέτη.

27. [26.]

Ἀσπίδα ῥῖψ' ἐς ποταμοῦ καλλιρόου προχοάς.

---

Fr. 22. Hephaestio p. 52.: *Πολὺ δέ ἐστι καὶ τὸ πρὸς τῇ καταχλεῖδι τὴν δευτέραν συζυγίαν ἰαμβικὴν ἔχον, οἷόν ἐστι παρὰ μὲν Ἀνακρέοντι· Ἐκ κτλ.* Duo codd. *παρέρχομαι* exhibent.

Fr. 23. V. 1. affert Hephaestio p. 52.: *Ἀνακρέων δὲ ἐπετήδευσε τὴν πρώτην συζυγίαν δι' ὅλου ᾄσματος ἐκ τριβράχεος καὶ ἰάμβου ποιῆσαι, ὡς εἶναι κοινὴν λύσιν τῆς τε χοριαμβικῆς καὶ τῆς ἰαμβικῆς· Ἀναπ. κτλ.* Schol. Arist. Av. v. 1378. integrum affert: *ταῦτα δὲ παρὰ τὰ Ἀνακρέοντος· Ἀναπέτομαι πρὸς Ὀ. π. κ. διὰ τὸν ἔρωτα· οὐ γὰρ ἐμοὶ θέλει συνηβᾶν. διὸ καὶ τὸ χ ἔχουσι δύο στίχοι.* Recte v. 2. Porsonus scripsit *παῖς ἐθέλει.* Respicit huc Julianus Epist. XVIII, p. 386, B.

Fr. 24. Lucian. Herc. Gall. c. 8.: *Ὁ ἔρως (Ἔρ.) ὅ σός, ὦ Τήϊε ποιητά, εἰςιδὼν με ὑποπόλιον γένειον, χρυσοφαέννων, εἰ βούλεται, πτερύγων ἢ ἀετοῖς παραπετέσθω.* quae emendavi, sunt autem ex eodem carmine, ex quo petitum est Fr. 23.

Fr. 25. Athenaeus XI, p. 229, B.: *Χωρὶς δὲ τοῦ τ στοιχείου Ἴωνες ἤγανον λέγουσιν, ὡς Ἀνακρέων· Χεῖρα κτλ.* Eadem Eustath. p. 1862. 11. Cf. ibid. 244. 46. et 710. 18.

Fr. 26. Priscianus T. I. p. 294. ed. Krehl.: „Nec mirum, quum Graecorum quoque poetae similiter inveniantur protulisse vocativos in supradicta terminatione. Anacreon *Ἤλιε καλλιλαμπέτη* posuit pro *καλλιλαμπέτα.*" Respicit Etym. M. p. 670. 18.

Fr. 27. Attil. Fortunat. p. 359. ed. Gaisf.: „Secundum colon Anacreon sic: *Ἀσπίδα κτλ. — καλλιρόου προχοάς.* Ita Ursinus, codex Gaisf. *ποταμὸν ιλλοροου τροχοας.* At metrum choriambicum requiritur; Schneidewinus conjecit: *καλλιρόοιο δίνας.*

28. [27.]

*Τὸν μυροποιὸν ἠρόμην Στράττιν εἰ κομήσει.*

29. [122.]

*Ἐγὼ δ' ἀπ' αὖτις φύγον ὥστε κόκκυξ.*

30. [28.]

*Δακρυόεσσάν τ' ἐφίλησεν αἰχμάν.*

31. [29.]

*Ὠινοχόει δ' ἀμφίπολος μελιχρόν*
*οἶνον, τρικύαθον κελέβην ἔχουσα.*

32. [30.]

*Οὐδ' ἀργυρέη κω τότ' ἔλαμπε Πειθώ.*

33. [31.]

*Εἶμι λαβὼν ἐς Ἥρης.*

34. [32.]

*Ἱπποθόρον δὲ Μυσοί*
*εὗρεῖν μῖξιν ὄνων πρὸς ἵππους.*

---

**Fr. 28. Hephaestio p. 96.:** *Ἀνακρέων οὐκ ἰαμβικῷ, ἀλλὰ χοριαμβικῷ ἐπιμίκτῳ πρὸς τὰς ἰαμβικὰς ἐπήγαγε τὸ ἰθυφαλλικόν· Τὸν λυροποιὸν κτλ.* **Emendavi auctore Poll. VII, 177.** *μυροποιός· Ἀνακρέων.*

**Fr. 29. Etym. Gud. p. 333. 22.:** *Κόκκυξ· ὄρνεον ἐαρινὸν παραπλήσιον ἱέρακι ἢ ὄρνεον δειλότατον, ὡς Ἀνακρέων φησί· ἐγὼ δ' αὐτῆς φεύγω ὥστε κόκκυξ.* **Sed cod. unus:** *ἐγὼ δ' ἀπ' αὐτῆς.* **Scripsi** *ἀπ' αὖτις,* **Schneidewinus** *φύγον.* **Cf. Etym. M. p. 524. 59.**

**Fr. 30. Hephaestio p. 52.:** *Τρίμετρα δέ, οἷον τὸ Ἀνακρέοντος· Δακρυόεσσάν κτλ.*

**Fr. 31. Athenaeus XI, p. 475, F.:** *Ἀνακρέων· Ὠινοχόει κτλ.*

**Fr. 32. Schol. Pind. Isthm. II. 5.:** *Τοιοῦτον δέ τι καὶ Ἀνακρέων εἴρηκε, καὶ μήποτε ἡ ἀπότασίς ἐστιν εἰς τὰ ὑπ' ἐκείνου εἰρημένα· φησὶ γάρ· οὐδ' ἀργυρέη κότ' ἔλαμπε Πειθώ.* **ed. Rom.** *κ̃ κότε ἐλ. πυθώ.* **scripsi** *κω τότ'.* **Ceterum cf. Tzetz. Chil. VIII. 828.**

**Fr. 33. Attil. Fortunat. p. 359. ed. Gaisf.: „Apud Anacreontem:** *εἰμὶ λαβὼν εἰςάρας.*" **Scripsi** *εἶμι* **et** *ἐς Ἥρης.* **Fortasse est ejusdem carminis, ex quo petitum Fr. 27.**

**Fr. 34. Schol. Hom. Il. XXIV. 278.:** *Μυσοὶ πλησίον ὄντες Ἐνετῶν, ὅθεν ἡμιόνων γένος, ἢ ὡς καὶ παρὰ Μυσοῖς διαφόρων ὄντων· Ἀνακρέων· Ἱππόθορον — ἵππους, ἐξ ὧν ἡμίονοι.* **Fortasse scribendum est v. 2.** *εὗρον.*

35. [33.]

*Αἰνοπαθῆ πατρίδ' ἐπόψομαι.*

36. [34.]

*Τίλλει τοὺς κνάμους ἀσπιδιώτης.*

37. [35.]

*Χήλινον ἄγγος*
*Ἔχον πυθμένας ἀγγειοσελίνων.*

38. [36.]

*Ἀσήμων ὑπὲρ ἑρμάτων φορεῦμαι.*

39. [37.]

*Πλεκτὰς δ' ὑποθυμίδας*
*περὶ στήθεσι λωτίνας ἔθεντο.*

40. [38.]

*Σὲ γάρ φη*
*Ταργήλιος ἐμμελέως*
*δισκεῖν.*

---

Fr. 35. Schol. Hom. Od. M. 313.: *Αἰνοπαθῆ πατρίδ' ἐπόψομαι· παρ' Ἀνακρέοντι.* Comparatur hoc cum Homerico *ζαῆν*, itaque videtur Anacreon scripsisse: *Αἰνοπάθην ἵνα πατρίδ' ἐπόψομαι* vel simile quid, Aeolica forma usus. id quod plane firmat Schol. in Cram. Anecd. Paris. III. p. 480. 31.: *Ἔδει χωρὶς τοῦ ν̄ ζαῆ, ὡς τὸ ἀκραῆ Ζέφυρον, ἔστιν οὖν Αἰολικὸν τὸ μετὰ τοῦ ν̄ καὶ ἔδει αὐτὸ Αἰολικῶς βαρύνεσθαι, ὡς τὸ αἰνοπαθῆ πατρίδ' ἐπόψομαι παρὰ Ἀνακρέοντι.*

Fr. 36. Etym. M. p. 713. 7.: *Σίλλοι ἐπίσκωμμα κατὰ τροπὴν τοῦ τ̄ εἰς σ̄ τίλλοι τινες. τίλλειν δὲ τὸ σκώπτειν, ὡς λέγει Ἀνακρέων· τίλλει κτλ.* Cf. ibid. p. 463. 10. et Orion p. 148. 12.

Fr. 37. Pollux VII. 172.: *Χήλινον δὲ ἄγγος ἔχον πυθμένας ἐλειοσελίνων ὅταν εἴπῃ Ἀνακρέων τὸ τῶν σχοινίων πλέγμα δηλοῖ. ἐλειοσελίνων* Hemsterhusius, vulgo *ἀγγελοσελίνων*, cod. unus *ἀγγεοσελίνων*, itaque *ἀγγειοσελίνων* scripsit, *δὲ* Pollucis est. Respicit huc Hesychius: *Κεχήλωμαι — καὶ χήλινον τὸ πλεκτόν, ὡς Ἀνακρέων.*

Fr. 38. Hesychius v. *Ἕρμα· ἔρεισμα ἢ ἔργμα, ἢ τὸν πετρώδη καὶ ἐπικυματιζόμενον, ὥστε μὴ βλέπειν, τόπον τῆς θαλάσσης. καὶ Ἀνακρέων· ἀσήμων κτλ.* Respiciunt hunc versum Harpocratio p. 86. ed. Bekk. Photius p. 15. 1. Suidas v. *ἑρμαῖον*, Zonaras p. 865.

Fr. 39. Athenaeus XV. p. 674, D.: *Ἐκάλουν δὲ καὶ οἷς περιεδέοντο τὸν τράχηλον στεφάνους ὑποθυμιάδας — καὶ Ἀνακρέων· πλεκτὰς κτλ. ὑποθυμίδας* Dindorfius, vulgo *ὑποθυμιάδας*. Respicit huc Athen. XV. p. 678, C.

F. 40. Apollon. de Synt. p. 238. ed. Bekker.: *Καὶ δὴ παρείπετο τῷ χρῶ παραγωγὴ τοῦ χρῆμι, ὡς φημί, ἀφ' οὗ τρίτον πρόσωπον*

## 41. [39.]

Ὁ Μεγίστης δ' ὁ φιλόφρων δέκα δὴ μῆνες, ἐπεί τε
στεφανοῦταί τε λύγῳ καὶ τρύγα πίνει μελιηδέα.

## 42. [40.]

Καθαρῇ δ' ἐν κελέβῃ πέντε τε καὶ τρεῖς ἀναχείσθων.

## 43. [41.]

Πολιοὶ μὲν ἡμὶν ἤδη κρόταφοι κάρη τε λευκόν,
χαρίεσσα δ' οὐκέτ' ἥβη πάρα, γηράλεοι δ' ὀδόντες.

γλυκεροῦ δ' οὐκέτι πολλὸς βιότου χρόνος λέλειπται·
διὰ ταῦτ' ἀνασταλύζω θαμὰ Τάρταρον δεδοικώς.

Ἀΐδεω γάρ ἐστι δεινὸς μυχός, ἀργαλέη δ' ἐς αὐτόν
κάθοδος· καὶ γὰρ ἕτοιμον καταβάντι μὴ ἀναβῆναι.

---

χρῆσιν ὡς φησίν, ἐξ οὗ τὸ χρῆ ἐν ἀποκοπῇ ἀπετελεῖτο, ὁμοίως τῷ παρ' Ἀνακρέοντι· σὲ γάρ φη (unus cod. hoc addit) ταργήλιος ἐμμελέως (ita unus cod., vulgo ἐμμελῶς) δισκεῖν. Verba σὲ γάρ φη ταργήλιος etiam afferunt Apollon. de Adv. in Bekk. Anecd. T. II. p. 543, 7. Schol. Hom. Il. V. 256. et memorabilis inprimis locus in Crameri Anecd. T. IV. p. 411, 23.: Ἀπὸ δὲ τοῦ φημὶ γίνεται φής, φησὶ καὶ κατὰ ἀποκοπὴν φῆς... γάρ φῆ Ταργήλιος ἀντὶ τοῦ φησί· τὸ δὲ Ταργήλιον ὄνομα δαίμονός ἐστι. Fortasse autem glyconei fuerunt:

Σὲ γάρ
φῆ Ταργήλιος ἐμμελέως
δισκεῖν.

Fr. 41. Athen. XV. 671, E.: Διὰ τί παρὰ τῷ Ἀν. λύγῳ τινὲς στεφανοῦνται; φησὶ γὰρ ἐν τῷ δευτέρῳ τῶν μελῶν· Μεγίσθης κτλ. Ὁ γὰρ τῆς λύγου στέφανος ἄτοπος κτλ. et eosdem versus repetit ibid. p. 673, D. V. 1. ὁ Μεγίστης Gaisfordius, vulgo Μεγίσθης, sed Μεγίστης unus cod. ib. ἐπεί τε codd., vulgo ἐπειδή. — V. 2. τε λύγῳ unus cod., vulgo τῇ λύγῳ. Respicit huc Athenaeus XV. p. 674, A. et Pollux VI, 107.

Fr. 42. Athen. X. 430, D.: Ὁ Ἀνακρέων ἔτι ζωρότερον, ἐν οἷς φησί· Καθαρῇ κτλ. πέντε τε Dindorfius: vulgo πέντε. ib. ἀναχείσθων scripsi, vulgo ἀναχείσθω.

Fr. 43. Stob. Floril. CXVIII, 13. Ἀνακρέοντος. V. 1. ἡμὶν Stephanus, vulgo ἡμῖν. ib. κάρη unus cod., vulgo κάρα. — V. 2. οὐκέτ' Schneidewinus, vulgo οὐκέθ'.

**44. [42.]**

Ἐμὲ γὰρ λόγων ἐμῶν εἵνεκα παῖδες ἂν φιλοῖεν·
χαρίεντα μὲν γὰρ ᾄδω, χαρίεντα δ' οἶδα λέξαι.

**45. [43.]**

Ἔραμαι δέ τοι συνηβᾶν· χαριτεῦν ἔχεις γὰρ ἦθος.

**46. [44.]**

Ἀστραγάλαι δ' Ἔρωτός εἰσιν μανίαι τε καὶ κύδοιμοι.

---

ΕΙΣ ΠΟΛΥΚΡΑΤΗΝ.

**47. [45.]**

Μεγάλῳ δηὖτέ μ' Ἔρως ἔκοψεν ὥστε χαλκεὺς
πελέκει, χειμερίῃ δ' ἔλουσεν ἐν χαράδρῃ.

**48. [46.]**

Ἀπέκειρας δ' ἁπαλῆς κόμης ἄμωμον ἄνθος.

**49. [47.]**

Θρῃκίην σίοντα χαίτην.

---

Fr. 44. Max. Tyr. VIII, p. 96. Ἡ δὲ τοῦ Τηΐου σοφιστοῦ τέχνη τοῦ αὐτοῦ ἤθους καὶ τρόπου· καὶ γὰρ πάντων ἐρᾷ τῶν καλῶν καὶ ἐπαινεῖ πάντας· μεστὰ δὲ αὐτοῦ τὰ ᾄσματα τῆς Σμέρδιος κόμης καὶ τῶν Κλεοβούλου ὀφθαλμῶν καὶ τῆς Βαθύλλου ὥρας· ἀλλὰ κἀν τούτοις τὴν σωφροσύνην ὅρα· Ἔραμαι κτλ. — ἤδη δέ που καὶ τὴν τέχνην ἀπεκαλύψατο· Ἐμὲ γὰρ λόγων εἵνεκα κτλ. καὶ αὖθις καλὸν εἶναι τῷ ἔρωτι τὰ δίκαια φησί. V. 1. ἐμῶν adjeci. — V. 2. ᾄδω Valckenarius, vulgo διδῶ.

Fr. 45. Max. Tyr. VIII, p. 96.: Ἀλλὰ κἀν τούτοις τὴν σωφροσύνην (Ἀνακρέοντος) ὅρα· ἔραμαι τοι συνηβᾶν· χάριεν γὰρ ἔχεις ἦθος, quae correxi. Cf. Herodianus περὶ μον. 14, 21. Ἀνακρέων καὶ ἀαριτόεις εἶπεν.

Fr. 46. Scholl. Il. ψ, 88.: Αἱ πλείους τῶν κατ' ἄνδρα ἀμφ' ἐστραγάλῃσιν ἐρύσσας· καὶ ἔστιν Ἰωνικώτερον· Ἀστρ. κτλ. Ἀνακρων. scripsi εἰσιν et κύδοιμοι, vulgo εἰσι et κυδοίμοιο.

Fr. 47. Hephaestio p. 68.: Καὶ τῷ βραχυκαταλήκτῳ δὲ Ἀν. ὅλα ᾄσματα συνέθηκε· Μεγάλῳ κτλ. scripsi δηὖτε et Ἔρως, vulgo δ' ηὖτε et ἔρως. Respiciunt hoc carmen Athenaeus XII, p. 540, E. et Aelianus Var. Hist. IX, 4.

Fr. 48. Phavorinus ap. Stobae Floril. LXVI, 6.: Πρὸς ταῦτα γελοῖος ἂν φανείη ὁ Ἀνακρέων καὶ μικρολόγος, τῷ παιδὶ μεμφόμενος, ὅτι τῆς κόμης ἀπεκείρατο, λέγων ταῦτα· Ἀπ. κτλ.

Fr. 49. Etym. M. p. 714. 38.: Ἔστι γὰρ καὶ σίω διὰ τοῦ ῑ, ᾧ κέχρηται Ἀνακρέων, οἷον· Θρηκίην κτλ. scripsi Θρῃκίην, vulgo Θρηΐκίην.

50. [48.]

Ἀπό μοι θανεῖν γένοιτ᾽· οὐ γὰρ ἂν ἄλλη
λύσις ἐκ πόνων γένοιτ᾽ οὐδαμὰ τῶνδε.

51. [49.]

Ἀγανῶς οἷά τε νεβρὸν νεοθηλέα
γαλαθηνόν, ὅστ᾽ ἐν ὕλης κεροέσσης
ἀπολειφθεὶς ὑπὸ μητρὸς ἐπτοήθη.

52. [50.]

Σινάμωροι πολεμίζουσι θυρωρῷ.

53. [52.]

Σικελὸν κότταβον ἀγκύλῃ παίζων.

---

Fr. 50. Hephaest. p. 69.: Τῶν δὲ τριμέτρων τὸ μὲν ἀκατάληκτον — Παρὰ δὲ τῷ Ἀνακρέοντι ἑτέρως ἐσχημάτισται Ἀπό μοι κτλ.

Fr. 51. Athen. IX. p. 396, D.: Καὶ Ἀνακρέων δέ φησιν· Οἷά τε ν. Eadem Aelianus VII, 39.: Ὅσοι λέγουσι θῆλυν ἔλαφον τὰ κέρατα οὐ φύειν, οὐκ αἰδοῦνται τοὺς τοῦ ἐναντίου μάρτυρας — καὶ Ἀνακρέων ἐπὶ θηλείας φησίν· οἷά τε νεβρὸν — ἐπτοήθη· Πρὸς δὲ τοὺς μοιχῶντας τὸ λεχθὲν καὶ μέντοι καὶ φάσκοντας δεῖν ἐροέσσης γράφειν, ἀντιλέγει κατὰ κράτος Ἀριστοφάνης ὁ Βυζάντιος καὶ ἐμέ γ᾽ αἱρεῖ τῇ ἀντιλογίᾳ. id quod conjecit Zenodotus, vid. Schol. Pind. Ol. III, 52. Τέτακται δὲ καὶ παρὰ Ἀνακρέοντι· Ἀγανῶς οἷά τε κτλ. Ζηνοδότος δὲ μετεποίησεν ἐροέσσης. — V. 1. ἀγανῶς solus Schol. Pindari, nisi forte scribendum:

Ἀγανωστὶ
ἅτε νεβρὸν νεοθηλέα γαλαθηνόν, ὅστ᾽ ἐν ὕλης
κεροέσσης ἀπολειφθεὶς ὑπὸ μητρὸς ἐπτοήθη.

— V. 2. ὕλης scripsi, Schol. ὕλαις, Athen. et Ael. ὕλῃ. — V. 3. ἀπολειφθεὶς Athen., ὑπολειφθεὶς Ael. et Schol. ib. ὑπὸ Schol., ἀπὸ ceteri. Respicit haec Eustath. Il. p. 711, 34. et Pollux V. 76.

Fr. 52. Etym. M. p. 713, 26.: Σινάμοροι (σινάμωροι) π. θυρωροί· ἐν δευτέρῳ Ἀνακρέοντος. μεμορημένοι, φησί, πρὸς τὸ σίνεσθαι. scripsi θυρωρῷ.

Fr. 53. Athen. X, p. 427, D.: Ἐχρῶντο γὰρ ἐπιμελῶς τῷ κοττβίζεσθαι ὄντος τοῦ παιγνίου Σικελικοῦ, καθάπερ ὁ Ἀνακρέων ὁ Τήϊος πεποίηκε· Σικελικὸν κότταβον ἀγκύλῃ δαΐζων. Σικελὸν Grotefendius, παίζων ego scripsi, λελίζων Emperius conjecit.

54. [53.]

Ἐπὶ δ' ὀφρύσιν σελίνων στεφανίσκους
θέμενοι θάλειαν ὀρτὴν ἀγάγωμεν
Διονύσῳ.

55. [54.]

Διονύσου σαῦλαι Βασσαρίδες.

56. [55.]

Οὐδ' αὖ μ' ἐάσεις μεθύοντ' οἴκαδ' ἀπελθεῖν;

57. [56.]

Φίλη γὰρ εἶ ξένοις, ἔασον δέ με διψῶντα πιεῖν.

58. [57.]

Ἀπὸ δ' ἐξείλετο θεσμὸν μέγαν * *

59. [58.]

Ἐκδῦσα χιτῶνα δωριάζειν.

---

Fr. 54. Athen. XV, p. 674, C.: Ἐστεφανοῦντο δὲ καὶ τὸ μέτωπον, ὡς ὁ καλὸς Ἀνακρέων ἔφη· Ἐπὶ κτλ. Eadem Eustath. p. 1908. et Schol. Pind. Olymp. III. 19.: Ἀνακρέων· ἐπὶ δ' ὀφρύσιν σελίνων στέφανον θέμενοι. — V. 1. ἐπί, Athenaei codd. ἐπεί. — V. 2. ὀρτὴν Hermannus, vulgo ἑορτήν.

Fr. 55. Hephaestio p. 69.: Παρὰ δὲ τῷ Ἀνακρέοντι ἑτέρως ἐσχημάτισται — τὸ δὲ καταληκτικόν· Διονύσου κτλ.

Fr. 56. Schol. Aeschyl. Prometh. v. 128.: Ὁ ῥυθμὸς Ἀνακρέοντος κεκλασμένος πρὸς τὸ θρηνητικόν· ἐπεδήμησε γὰρ τῇ Ἀττικῇ Κριτίου ἐρῶν καὶ ἠράσθη λίαν τοῖς μέλεσι τοῦ τραγικοῦ· ἐχρῶντο δὲ αὐτοῖς οὐκ ἐν παντὶ τόπῳ, ἀλλ' ἐν τοῖς θρηνητικοῖς, ὡς καὶ Σοφοκλῆς Τυροῖ. ἔστι δὲ ταῦθ' ὅμοια τῷ· Οὐδ' αὖ ἐάσεις με κτλ. Correxit Hermannus. Anacreontis carmina in Critiam respexit Plato in Charmide p. 157, E.

Fr. 57. Athen. X, p. 433, F.: Καὶ Ἀνακρέων· φίλη κτλ. εἶ ξένοις Casaubonus, codd. εἰς ξείνεις, εἰ ξείνεις, δὲ ξείνεις.

Fr. 58. Apollon. Sophist. p. 418.: Θέσθαι — καὶ γὰρ ὁ θησαυρὸς θεσμὸς λέγεται, καθάπερ καὶ Ἀνακρέων λέγει ἀπὸ δ' κτλ. vulgo θυμὸν legitur. Respicit Etym. M. p. 448, 15.

Fr. 59. Schol. Eurip. Hec. v. 914.: Δωριάζειν τὸ γυμνὰς φαίνεσθαι τὰς γυναῖκας· Ἀνακρέων· Ἐκδῦσα κτλ. Cf. Eustath. Il, p. 975, 35.: Αἴλιος γοῦν Διονύσιος δωριάζειν, φησί, τὸ παραφαίνειν καὶ παραγυμνοῦν πολύ τι τοῦ σώματος. αἱ γὰρ κατὰ Πελοπόννησον κόραι διημέρευον ἄζωστοι καὶ ἀχίτωνες, ἱμάτιον μόνον ἐπὶ θάτερα ἐπιπεπορπημέναι, κτλ.

60. [59.]

*Καί μ' ἐπίβωτον κατὰ γείτονας ποιήσεις.*

61. [60.]

*Παρὰ δηῦτε Πυθόμανδρον*
*κατέδυν Ἔρωτα φεύγων.*

62. [61.]

*Φέρ' ὕδωρ, φέρ' οἶνον, ὦ παῖ,*
*φέρε δ' ἀνθεμεῦντας ἡμὶν*
*στεφάνους, ἔνεικον, ὡς δὴ*
*πρὸς Ἔρωτα πυκταλίζω.*

63. [62.]

*Ἄγε δή, φέρ' ἡμὶν, ὦ παῖ,*
*κελέβην, ὅκως ἄμυστιν*
*προπίω, τὰ μὲν δέκ' ἐγχέας*
*ὕδατος, τὰ πέντε δ' οἴνου*
*κυάθους, ὡς ἀνυβριστὶ*
*ἀνὰ δηῦτε βασσαρήσω.*

* * *

---

Fr. 60. Ammonius p. 42. Valck. *Διαβόητος ὁ ἐπ' ἀρετῇ ἐγνωσμένος· ἐπιβόητος δ' ὁ μοχθηρὰν ἔχων φήμην· Ἀνακρέων ἐν δευτέρῳ· Καί μ' κτλ.* vulgo *ἐπιβόητον* et sic Etym. Gud. p. 142, 43. et 199, 3. sed Anacreontem dixisse *ἐπίβωτον* testatur Eustath. p. 1856, 11.

Fr. 61. Hephaestio p. 70.: *Τὸ δὲ (δίμετρον) ἀκατάληκτον κατὰ τὸν ἀνακλώμενον χαρακτῆρα πολὺ παρὰ τῷ Ἀνακρέοντί ἐστι· Παρὰ κτλ.* V. 1. *δηῦτε* scripsi, vulgo *δ' ηὖτε.* — V. 2. *κατέδυν Ἔρωτα* scripsi, legebatur *κατέδυν' ἔρωτα.*

Fr. 62. Athen. XI, p. 782, A.: *Ἀνακρέων· Φέρ' ὕδωρ κτλ.* V. 1. affert Demetrius de elocut. c. 5. — V. 3. *ὡς δὴ* et v. 4. affert Eustath. Il. p. 1322, 53.: *Παράγωγον ῥῆμα τὸ πυκταλίζειν, οὗ χρῆσις παρὰ Ἀνακρέοντι, ὡς μὴ κτλ.* et Orion p. 62, 13.: *Ἀνακρέων· ὡς δὴ πρὸς ἔρωτά πυκταλίζω.* ubi recte *δὴ* scriptum, Athenaeus quoque *μή.* Respicit etiam Etym. M. p. 345, 39.

Fr. 63. Athen. X. p. 427, A.: *Παρὰ δὲ Ἀνακρέοντι εἷς οἴνου πρὸς δύο ὕδατος· Ἄγε κτλ. — βασσαρήσω. Καὶ προελθὼν τὴν ἀκρατοποσίαν Σκυθικὴν καλεῖ πόσιν· Ἄγε δεῦτε κτλ.* Est haud dubie ex eodem carmine, cujus exordium est Fr. 62. V. 1—5. *κυάθους* Athenaeus affert XI. p. 447, C. et Eustath. Odyss. p. 1476. 31. — V. 1. *ἡμὶν* Dind., vulgo *ἡμῖν.* — V. 2. *ὅκως,* Athenaeus altero loco *ὅπως.* — V. 3. *δέκ'* posteriore loco, priore *δ'* vel *δύ'.* — V. 5. *ἀνυβριστὶ* Baxterus, codd. *ἂν ὑβριστίως.* — V. 6. *ἀνὰ δηῦτε* scripsi,

Ἄγε δηὖτε μηκέθ' οὕτω
πατάγῳ τε κἀλαλητῷ
Σκυθικὴν πόσιν παρ' οἴνῳ
μελετῶμεν, ἀλλὰ καλοῖς
ὑποπίνοντες ἐν ὕμνοις.

**64. [63.]**

Χθόνιον δ' ἐμαυτὸν ἦρον.

**65. [64.]**

Τὸν Ἔρωτα γὰρ τὸν ἁβρόν
μέλομαι βρύοντα μίτραις
πολυανθέμοις ἀείδειν·
ὁ δὲ καὶ θεῶν δυνάστης,
ὁ δὲ καὶ βροτοὺς δαμάζει.

**66. [65.]**

Ἀλλὰ πρόπινε
ῥαδινούς, ὦ φίλε, μηρούς.

---

**67. [66.]**

Ἁδυμελὲς, χαρίεσσα χελιδοῖ.

---

codd. ἀναδευτε vel ἀναδω. — V. 8—10. μελετῶμεν affert Commentator Cruq. Horat. Carmm. I, 27, 1.: „*Ad convivas sodales suos de hilaritate. Sensus autem sumptus ex Anacreonte libro tertio:* Ἄγε δῶτε κτλ.“ Cf. Porphyrio ibid.: „Ode προτρεπτική est ad hilaritatem, cujus sensus sumtus est ex Anacreonte *in libro tertio.*“ — V. 8. δηὖτε scripsi, codd. δηυτε, δήντε, δήτε.

Fr. 64. Schol. Hesiod. Theog. 767.: Τὸ δὲ χθονίου ἢ τοῦ στυγεροῦ, ὡς Ἀνακρέων· χθ. δ' ἐμ. ἦρεν. unus cod. ἦγον. scripsi ἦρον.

Fr. 65. Clemens Alex. Strom. VI, p. 745. Potter.: Ἀνακρέοντος ποιήσαντος· Ἔρωτα κτλ. Εὐριπίδης γράφει· Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται κτλ. Cf. Arsenii Viol. p. 110. V. 1. τὸν Ἔρωτα, Baxterus alii, vulgo Ἔρωτα. — V. 2. μέλομαι Hermannus, vulgo μέλπομαι. — V. 3. ἀείδειν unus cod., vulgo ἀείδων. Ceterum dubium est, an carmen sit Anacreontis.

Fr. 66. Schol. Pind. Ol. VII, p. 5.: Προπίνειν ἐστὶ κυρίως τὸ ἅμα τῷ κράματι τὸ ἀγγεῖον χαρίζεσθαι. Ἀνακρέων· Ἀλλὰ κτλ. ἀντὶ τοῦ χαρίζου.

Fr. 67. Hephaestio p. 39.: Ὕστερον δὲ καὶ Ἀνακρέων τούτῳ τῷ μέτρῳ ὅλα ᾄσματα συνέθηκεν. Ἀδυμ. κτλ. Eadem Plotius p. 264. ed. Gaisf.

68. [67.]

*Μνᾶται δηὖτε φαλακρὸς Ἄλεξις.*

69. [73.]

*Καλλίκομοι κοῦραι Διὸς ὠρχήσαντ' ἐλαφρῶς.*

70. [74.]

*Ὀρσόλοπος μὲν Ἄρης φιλέει μεναίχμαν.*

71. [75.]

*Οὔτε γὰρ ἡμετέρειον οὔτε καλόν.*

72. [76.]

*Νῦν δ' ἀπὸ μὲν πόλιος στέφανος ὄλωλεν.*

73. [77.]

*Βούλεται ἀπεροπεὺς ἐφ' ἡμὶν εἶναι.*

74. [78.]

*. . . . . . Ἐγὼ δὲ μισέω*
*πάντας, ὅσοι χθονίους ἔχουσι ῥυσμούς*

---

Fr. 68. Hephaestio p. 39.: *Ἀνακρέων τούτῳ τῷ μέτρῳ ὅλα ᾄσματα συνέθηκεν — καὶ Μνᾶται κτλ.* δηὖτε scripsi, vulgo *δηῦτε* vel *δεῦτε*.

Fr. 69. Athen. I, p. 21, A.: *Ἔλαττον τὸ ὀρχεῖσθαι ἐπὶ τοῦ κινεῖσθαι καὶ ἐρεθίζεσθαι. Ἀνακρέων· Καλλίκομοι κτλ.* Eadem Eustath. p. 1842, 4.

Fr. 70. Hephaestio p. 10.: *Κέχρηται δὲ (τῷ ἐγκωμιολογικῷ) καὶ Ἀνακρέων ἐν πλείοσιν ᾄσμασιν. Ὀρσόλοπος κτλ.* *Ὀρσόλοπος* unus cod., alii *ὀρσόλεπος*, *ὀρσόλεπτος*, *ὀρσ' ὀλέπος*. ib. *μεναίχμαν*, Pauwius *μεναιχμήν*, codd. *μὲν αἰχμάν*.

Fr. 71. Etym. M. p. 429, 50.: *Ἡμετέρειος κτητικόν ἐστι· σημαίνει δὲ τὸν τοῦ ἡμετέρου· ἐχρῆτο δὴ τῇ λέξει Ἀνακρέων οὔτε γὰρ κτλ.* Eadem Zonaras p. 990.

Fr. 72. Schol. Pindari Ol. XIII, 42.: *Στέφανοι γὰρ ὥσπερ τῶν πόλεων τὰ τείχη· καὶ Ἀνακρέων νῦν δ' κτλ.* *πόλιος* Schneidewinus, vulgo *πόλεως*.

Fr. 73. Etym. M. p. 393, 47.: *Ἀπεροπεὺς ὁ τῷ λόγῳ κακῶς χρώμενος καὶ ἀπατῶν· — παρὰ Ἀνακρέοντι· Βούλεται ἀπεροπὸς ἡμῖν εἶναι.* quae correxi.

Fr. 74. Etym. M. p. 2, 45.: *Παρὰ τὸ ἀβακὴς γίνεται ἀβακῶ, ἐκ τούτου δὲ γίνεται ἀβακίζω· φησὶν Ἀνακρέων· Ἐγὼ κτλ. ἀντὶ τοῦ τῶν ἡσυχίων καὶ μὴ θορυβωδῶν.* V. 2. *ὅσοι* scripsi, vulgo *οἵ*, et *ῥυσμούς*, vulgo *ῥυθμούς*.

καὶ χαλεπούς· μεμέθεικα δ', ὦ Μεγίστη,
τῶν ἀβακιζομένων.

---

75. [79.]

Πῶλε Θρηκίη, τί δή με λοξὸν ὄμμασιν βλέπουσα
νηλεῶς φεύγεις, δοκέεις δέ μ' οὐδὲν εἰδέναι σοφόν;

ἴσθι τοι, καλῶς μὲν ἄν τοι τὸν χαλινὸν ἐμβάλοιμι,
ἡνίας δ' ἔχων στρέφοιμί σ' ἀμφὶ τέρματα δρόμου.

5 νῦν δὲ λειμῶνάς τε βόσκεαι κοῦφά τε σκιρτῶσα παίζεις·
δεξιὸν γὰρ ἱπποσείρην οὐκ ἔχεις ἐπεμβάτην.

76. [80.]

Κλῦθί μευ γέροντος εὐέθειρε χρυσόπεπλε κούρα.

77. [81.]

Εὖτέ μοι λευκαὶ μελαίναις ἀναμεμίξονται τρίχες.

78. [82.]

Ἐν μελαμφύλλῳ δάφνᾳ χλωρᾷ τ' ἐλαίᾳ ταντλίζει.

---

V. 3. μεμέθεικα δ' ὦ Μεγίστη sive Μεγίστα scripsi, vulgo μεμαθήκασιν, ὡς μεγίστη. Eadem Crameri Anecd. Paris. IV, 84, 28.

Fr. 75. Heraclid. Pont. Alleg. Hom. p. 16. Schow. Καὶ μὴν ὁ Τήϊος Ἀνακρέων ἑταιρικὸν φρόνημα καὶ σοβαρᾶς γυναικὸς ὑπερηφανίαν ὀνειδίζων, τὸν ἐν αὐτῇ σκιρτῶντα νοῦν ὡς ἵππον ἠλληγόρησεν, οὕτω λέγων· Πῶλε κτλ. V. 1. Θρηκίη Barnesius, vulgo Θρηϊκίη. — V. 2. μ' οὐδὲν Barnesius, vulgo μηδέν. — V. 4. στρέφοιμί σ' scripsi, vulgo στρέφοιμ', nisi malis στρέφοιμ' ἄν. — V. 6. ἱπποσείρην scripsi, vulgo ἱπποπείρην.

Fr. 76. Hephaestio p. 36.: Καὶ τῶν ἀκαταλήκτων δὲ τὸ τετράμετρον ἔνδοξόν ἐστιν, οἷον τουτὶ τοῦ Ἀνακρέοντος· Κλῦθί κτλ. — εὐέθειρε restitui ex Schol. Hephaest. p. 175. qui bis hunc versum affert, vulgo εὐέθειρα.

Fr. 77. Julian. Misopog. p. 366, B.: Εὖτέ μοι κτλ. ὁ Τήϊος ἔφη ποιητής. — μοι, scribendum videtur σοί.

Fr. 78. Schol. Sophocl. Antig. 138.: Ὅτι δὲ ταντλωθεὶς σημαίνει τὸ διασεισθεὶς μαρτυρεῖ καὶ Ἀνακρέων· μελαμφύλλῳ κτλ. Addidi ἐν.

79. [83.]

*Κοίμισον δ', ὦ Ζεῦ, σόλοικον φθόγγον.*

80. [98.]

*Διὰ δέρην ἔκοψε μέσσην, κὰδ δὲ λῶπος ἐσχίσθη.*

81.

*Αἱ δέ μευ φρένες*
*ἐκκεκωφέαται.*

---

82. [94.]

*Ἐγὼ δ' ἔχων σκύπφον Ἐρξίωνι*
*τῷ Λευκολόφου μεστὸν ἐξέπινον.*

83. [95.]

*Στεφάνους ὁ δ' ἀνὴρ τρεῖς ἕκαστος εἶχεν,*
*τοὺς μὲν ῥοδίνους, τὸν δὲ Ναυκρατίτην.*

---

Fr. 79. Herodian. de barbar. p. 493. ed. Valcken. Ammonii: *Σολοίκους δὲ ἔλεγον οἱ παλαιοὶ τοὺς βαρβάρους· ὁ γὰρ Ἀνακρέων φησί· Κοίμισον δὲ σόλοικον φθόγγον.* Sed codd. ap. Villois. Anecd. T. II. p. 77. *μισῶ Ζεῦ* vel *κόμισον Ζεῦ σόλ. φθ.* itaque emendavi. Respicit huc Eustath. Il. p. 368. 2.

Fr. 80. Schol. Il. *P.* 543.: *Κατὰ ταῦρον ἐδηδώς. ἡ διακοπὴ τῆς λέξεως τὸν εἰς πολλὰ διεσπασμένον παρέστησε ταῦρον, οὐ μέτρον ἀπαιτοῦντος· παρῆν γὰρ φάναι ταῦρον κατεδηδώς· Καὶ Ἀνακρέων· Διὰ δέρην κόψε μέσην κὰδ κτλ.* quae correxi. Cf. Crameri Anecd. Paris. III. p. 287, 28. Ultima verba *κὰδ δὲ λ. ἐσχ.* affert Eustath. p. 1001, 39. ubi *λοπὸς* scriptum. Ceterum Anacreontis fortasse est versus apud Hephaest. p. 34.: *Ἐρξίη πη δηὖτ' ἄνολβος ἀθροΐζεται στρατός.*

Fr. 81. Crameri Anecd. I. p. 288, 3.: *Ἀνακρέων. Αἱ δέ μευ κτλ.* Etym. M. p. 322, 20. omisso nomine poetae: *Αἱ δ' ἐμαὶ φρ. ἐκ., καὶ (ἤτοι) παραβεβλαμμέναι εἰσίν.*

Fr. 82. Athen. XI. p. 498, C.: *Ἡσίοδος ἐν τῷ δευτέρῳ Μελαμποδίας σὺν τῷ π σκύπφον λέγει· — ὁμοίως εἴρηκε καὶ Ἀνακρέων. Ἐγὼ κτλ. ἀντὶ τοῦ προέπινον.* V. 1. fortasse scribendum *κἀγὼ δέ γ' ἔχων.* — V. 2. *τῷ Λευκολόφου* scripsi, vulgo *τῷ λευκολόφῳ.*

Fr. 83. Athen. XV. p. 671, E.: *Τίς ἐστιν ὁ παρὰ τῷ χαρίεντι Ἀνακρέοντι Ναυκρατίτης στέφανος, ὦ Οὐλπιανέ; φησὶ γὰρ οὕτως ὁ μελιχρὸς ποιητής· Στεφάνους ὁ δ' ἀνὴρ κτλ.* V. 1. *στεφάνους ὁ δ' ἀνὴρ* unus cod., alii *στεφάνου· ὁ δ' ἀνήρ.* Num forte legendum: *ὁ δ' ἀνὴρ στεφάνους.* Respicit hunc locum Athenaeus ibid. p. 678, D. Cf. Pollux VI, 107.: *Ἀνακρέων δὲ καὶ μύρτοις στεφανοῦσθαί φησι — καὶ Ναυκρατίτῃ στεφάνῳ, σάμφυχος οὗτος ἦν.*

84. [85.]

Ἔστε ξένοισι μειλίχοις ἐοικότες,
στέγης τε μοῦνον καὶ πυρὸς κεχρημένοις.

85. [86.]

Πάλαι ποκ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

86. [84.]

Καὶ θάλαμος, ἐν τῷ κεῖνος οὐκ ἔγημεν, ἀλλ' ἐγήματο.

87. [87.]

Κνίζη τις ἤδη καὶ πέπειρος ἐγενόμην
    σὴν διὰ μαργοσύνην.

88. [88.]

Κοὐ μοκλὸν ἐν θύρῃσι διξῇσιν βαλὼν
    ἥσυχος καθεύδει.

---

Fr. 84. Plut. de commun. not. c. 20.: Διψῶντες οὖν ὕδατος οὐκ ἔχουσι χρείαν οὐδὲ ἄρτου πεινῶντες· Ἔσται ξ. κτλ. οὗτος οὖν εἶχε χρείαν ὑποδοχῆς. Anacreontis esse indicat Hephaest. p. 29.: Δίμετρα, οἷα τὰ Ἀνακρεόντεια ὅλα ᾄσματα γέγραπται, οἷον — τρίμετρα δέ, ὡς τό· ἔστε ξένοισι μειλίχοις ἐοικότες. — V. 1. ἔστε Hephaestio vulgo, sed plerique codd. ἔσται, ut Plutarchus. — V. 2. τε adjecit Gaisfordius.

Fr. 85. Zenob. V, 80.: Πάλαι ποτ' ἦσαν ἄ. Μ. Φασὶ τοὺς Κᾶρας πολεμουμένους ὑπὸ Δαρείου τοῦ Πέρσου κατά τινα παλαιὰν μαντείαν εἰρημένην αὐτοῖς τοὺς ἀλκιμωτάτους προσθέσθαι συμμάχους ἐλθεῖν εἰς Βραγχίδας καὶ τὸν ἐκεῖ θεὸν ἐρωτῆσαι, εἰ Μιλησίους πρόσθοιντο συμμάχους· οἱ δὲ ἀποκρίνασθαι· Πάλαι ποτ' ἦσαν ἄ. Μ. οὗτος δὲ ὁ στίχος εἴρηται τὸ πρότερον παρὰ Ἀνακρέοντι. Cf. Schol. Ar. Plut. 1002. Ἰσχυροί ποτ' ἦσαν οἱ Μ., ὡς καὶ Ἀνακρέων. Scripsi ποκ', siquidem ipse hic versus Anacreontis videtur esse.

Fr. 86. Ammon. Valck. p. 36.: Ἀνακρέων διασύρων τινὰ ἐπὶ θηλύτητι· Καὶ κτλ. Eadem Herodianus in Boisson. Anecd. T. III. p. 263. Etym. Gud. p. 125, 2. Eustath. p. 1678, 59. θάλαμος Herodian. et Etym., θάλαμον Eustath., θαλάμους Ammon. ib. τῷ scripsi, vulgo ᾧ. Etym. Gud. corruptissime καὶ θάλλει κεῖνος μόνος οὐκ ἔγημεν ἀλλ' ἐγήματο.

Fr. 87. Etym. M. p. 523, 4.: Τὸ κνύζα εἰ ἐπὶ τοῦ παρεφθαρμένου καὶ ἐρρυπωμένου, οὐ συγκοπή ἐστιν, ἀλλ' ἀπὸ τοῦ κνύω· ἀφ' οὗ κνύος ἡ φθορά· γίνεται κνύζα, ὡς παρὰ Ἀνακρέοντι ἐν ἰάμβῳ· Κνίζη τ. ἤ. κ. πέπειρα γενομένη σ. δ. μ. Eustath. Od. 1746, 13.: Ἡ κνίζα, ὡς σχίζω σχίζα, Ἀνακρέων· Κνίζη τ. ἤ. κ. π. γίνομαι σ. δ. μ. Scripsi πέπειρος ἐγενόμην, nam πέπειρα γίνομαι ferri nequit.

Fr. 88. Zonaras p. 1512.: Τὸν δὲ μοχλὸν ἐν τῷ χ καὶ Ἀττικοὶ καὶ Δωριεῖς καὶ Ἴωνες, πλὴν Ἀνακρέοντος· οὗτος δὲ μόνος σχεδὸν τῷ

89. [89.]

Ἐρῶ τε δηὖτε κοὐκ ἐρῶ
καὶ μαίνομαι κοὐ μαίνομαι.

90. [90.]

Μηδ᾽ ὥστε κῦμα πόντιον
λάλαζε, τῇ πολυκρότῃ
σὺν Γαστροδώρῃ καταχύδην
πίνουσα τὴν ἐπίστιον.

91. [91.]

Διὰ δηὖτε Καρικευργέος
ὀχάνοιο χεῖρα τιθέμεναι.

92. [92.]

Ὁ μὲν θέλων μάχεσθαι,
πάρεστι γάρ, μαχέσθω.

93. [93.]

Ὠραννὲ δὴ λίην,
πολλοῖσι γὰρ μέλεις.

---

κ, Ζηνόδοτος δὲ (μοχλόν)· *Καὶ οὐ μοκλὸν ἐν οὔρησι δίζησι β.* ἤ. κ. quae correxi.

Fr. 89. Hephaestio p. 29.: Ἔστι δὲ ἐπίσημα ἐν αὐτῷ ἀκατάληκτα μὲν δίμετρα, οἷα τὰ Ἀνακρεόντεια ὅλα ᾄσματα γέγραπται, οἷον· ἐρῶ τε κτλ. — V. 1. scripsi δηὖτε, vulgo δῆτα, unus cod. δ᾽ ἦυτε. — V. 1. affert Schol. Arist. Plut. 253.

Fr. 90. Athen. X, p. 446, F.: Ἡ παρ᾽ *Ἀνακρέοντι* καλουμένη ἐπίστιος· φησὶ γὰρ ὁ μελοποιός· Μηδ᾽ κτλ. Τοῦτο δ᾽ ἡμεῖς ἀνίσωμα φαμέν.

Fr. 91. Strabo XIV, p. 661.: Τοῦ δὲ περὶ τὰ στρατιωτικὰ ζήλου τά τε ὄχανα ποιοῦνται τεκμήρια καὶ τὰ ἐπίσημα καὶ τοὺς λόφους· Ἀνακρέων μέν γε φησίν· Δία δεῦτε Καρικὸν εὐεργέος ὀχάνου χεῖρα τιθέμεναι. V. 1. διὰ δηὖτε scripsi, deinde Καρικευργέος ὀχάνοιο, et Eustath. p. 367.: Καρικοεργέος ὀχάνου. p. 707.: Καριοεργέος ὀχάνοιο. Cf. Etym. Gud. p. 297, 41. Schol. Il. θ, 193. Etym. M. p. 489, 39.

Fr. 92. Hephaestio p. 30.: Καταληκτικὰ δὲ δίμετρα μέν, ὡς τὸ καλούμενον Ἀνακρεόντειον, οἷον· ὁ μὲν θέλων κτλ. Eadem Plotius p. 270. ed. Gaisf. et Schol. Arist. Plut. 303. et v. 1. Schol. Hephaest. p. 167. Si quidem est Anacreontis carmen.

Fr. 93. Priscianus de metr. comic. p. 249. ed. Lind.: „Anacreon teste Heliodoro: ὁρᾶν, ἀεὶ μὴν πολλοῖσι γὰρ μέλεις. Hic iambus merum spondeum habet.“ unus cod. λίην. Correxi haec.

## II. ΕΛΕΓΕΙΑ.

94. [69.]

Οὐ φιλέω, ὃς κρητῆρι παρὰ πλέῳ οἰνοποτάζων
νείκεα καὶ πόλεμον δακρυόεντα λέγει,
ἀλλ' ὅςτις Μουσέων τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης
συμμίσγων ἐρατῆς μήσεται εὐφροσύνης.

95. [132.]

Τί μοι τῶν ἀγκυλοτόξων,
ὦ φίλε, Κιμμερίων Σιντιέων τε μέλει;

96. [68.]

Οὐδέ τι σοὶ πρὸς θυμόν, ὅμως γε μὲν ὡς ἀδοιάστως.

97. [71.]

Οὐκέτι Θρηϊκίης παιδὸς ἐπιστρέφομαι.

98. [72.]

Οἰνοπότης δὲ πεποίημαι.

99.

* * Δεῖ φροντίδα μὴ κατέχειν.

---

Fr. 94. Athen. XI. p. 463, A.: Καὶ ὁ χαρίεις δ' Ἀνακρέων φησίν· Οὐ φ. κτλ. — V. 1. οὐ φιλέω ὃς Epitom., codd. οὐ φίλεος vel οὐ φίλος ὅς. — V. 4. μήσεται scripsi, vulgo μνήσκεται, Fr. Frankius μνήσεται.

Fr. 95. Schol. Hom. Od. VIII. 293.: Καὶ Ἀνακρέων δὲ ὡς πολεμικῶν ὅπλων τεχνίτας (Σίντιας) μέμνηται· τί μοι, φησί, τῶν ἀγκύλων τόξων φιλοκίμεως καὶ Σκυθῶν μέλει. Cf. Crameri Anecd. Paris. III. p. 455, 29.: Καὶ Ἀνακρέων δὲ ὡς πολεμικῶν μέμνηται, τί μοι, φησί, τῶν ἀγκύλων τόξων φιλοκιμέρων καὶ Σκυθῶν μέλλει. Quae correxi.

Fr. 96. Hephaest. p. 11.: Καὶ παρὰ Ἀνακρέοντι ἐν ἐλεγείαις· οὐδὲ κτλ. σοὶ scripsi, vulgo τοι. ib. fortasse ὅμως γε μένεις scribendum.

Fr. 97. Longinus de Sublim. c. 31.: Ποιητικώτατον καὶ γόνιμον τόδ' Ἀνακρέοντος· Οὐκέτι Θρηϊκίης ἐπιστρ. Addidi παιδός, sive malis πώλου.

Fr. 98. Athen. XI. p. 460, D.: Ὁ δὲ Ἀνακρέων ἔφη· Οἰν. κτλ. Respicit Pollux VI, 21.: Καὶ οἰνοπότης καὶ οἰνοπότις γυνή, ὡς Ἀνακρέων. nam utrumque ex Anacreonte petitum arbitror.

Fr. 99. Macedonius in Anthol. Pal. X. 70.: Τὴν γὰρ Ἀνακρείοντος ἐνὶ πραπίδεσσι φυλάσσω Παρφασίην ὅτι· Δεῖ φροντίδα μὴ κατέχειν.

100. [145.]

Ἀγχοῦ δ' Αἰγείδεω Θησέος ἐστὶ λύρη.

## III. ΕΠΙΓΡΑΜΜΑΤΑ.

101. [Ep. 15.]

Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα
πᾶσ' ἐπὶ πυρκαϊῆς ἥδ' ἐβόησε πόλις·
οὔτινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Ἄρης
ἠνάρισεν στυγερῆς ἐν στροφάλιγγι μάχης.

102. [Ep. 24.]

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, οὗ τόδε σᾶμα·
Ἄρης δ' οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

103. [Ep. 2.]

Οὗτος Φειδόλα ἵππος ἀπ' εὐρυχόροιο Κορίνθου
ἄγκειται Κρονίδᾳ, μνᾶμα ποδῶν ἀρετᾶς.

104. [Ep. 9.]

Σάν τε χάριν, Διόνυσε, καὶ ἀγλαὸν ἄστεϊ κόσμον
Θεσσαλίας μ' ἀνέθηκ' ἀρχὸς Ἐχεκρατίδας.

105. [Ep. 5.]

Πρὶν μὲν Καλλιτέλης μ' ἱδρύσατο· τόνδε δ' ἐκείνου
ἔκγονοι ἑστάσανθ', οἷς χάριν ἀντιδίδου.

---

**Fr. 100. Hygin. Astron. II, 6.:** ***Hac etiam de causa nonnulli Lyram, quae proxima ei signo*** **(Engonasin)** ***est collocata, Thesei esse dixerunt, quod ut eruditus omni genere artium lyram quoque didicisse videbatur. Idque et*** **Anacreon** ***dicit.*** **Ἀγχοῦ κτλ. δ' Αἰγείδεω scripsi, vulgo δαὶ τεῦ. Ceterum Meinekius hunc versum censet Anacreontis junioris esse.**

---

**Epigr. 101. Anth. Pal. VII. 226. — V. 1. et 2. Suidas v. Αἰνοβίαν, v. 3. et 4. v. Ἠνάρισεν affert.**

**Epigr. 102. Anth. Pal. VII. 160. — V. 1. σᾶμα, videtur σῆμα scribendum.**

**Epigr. 103. Anth. Pal. VI. 135.**

**Epigr. 104. Anth. Pal. VI. 142.**

**Epigr. 105. Anth. Pal. VI. 138. — V. 1. τόνδε Jacobsius, cod. τὸν δέ.**

106. [Ep. 6.]

Πραξαγόρας τάδε δῶρα θεοῖς ἀνέθηκε, Λυκαίου
 υἱός· ἐποίησεν δ' ἔργον Ἀναξαγόρας.

107. [Ep. 7.]

Παιδὶ φιλοστεφάνῳ Σεμέλας ἀνέθηκε Μέλανθος
 μνᾶμα χοροῦ νίκας υἱὸς Ἀρηϊφίλου.

108. [Ep. 8.]

Ῥυσαμένα Πύθωνα δυςαχέος ἐκ πολέμοιο
 ἀσπὶς Ἀθηναίης ἐν τεμένει κρέμαται.

109. [Ep. 1.]

Ἡ τὸν θύρσον ἔχουσ' Ἑλικωνιὰς αἵ τε παρ' αὐτήν
 Ξανθίππη Γλαύκη τ' ἐς χορὸν ἐρχόμεναι
ἐξ ὄρεος χωροῦσι, Διωνύσῳ δὲ φέρουσιν
 κισσὸν καὶ σταφυλὴν πίονα καὶ χίμαρον.

110. [Ep. 3.]

Πρηξιδίκη μὲν ἔρεξεν, ἐβούλευσεν δὲ Δύσηρις
 εἷμα τόδε· ξυνὴ δ' ἀμφοτέρων σοφίη.

111. [Ep. 4.]

Πρόφρων, Ἀργυρότοξε, δίδου χάριν Αἰσχύλου υἱῷ
 Ναυκράτει, εὐχωλὰς τάςδ' ὑποδεξάμενος.

112. [Ep. 10.]

Εὔχεο Τιμώνακτι θεῶν κήρυκα γενέσθαι
 ἤπιον, ὅς μ' ἐρατοῖς ἀγλαΐην προθύροις
Ἑρμῇ τε κρείοντι καθέσσατο· τὸν δ' ἐθέλοντα
 ἀστῶν καὶ ξείνων γυμνασίῳ δέχομαι.

---

Epigr. 106. Anth. Pal. VI. 139.

Epigr. 107. Anth. Pal. VI. 140. — V. 1. φιλοστεφάνῳ Barnesius, vulgo φιλοστεφάνου.

Epigr. 108. Anth. Pal. VI. 141. — V. 1. Suidas v. δυςηχῆς exhibet ῥυσαμένη et δυςηχέος.

Epigr. 109. Anth. Pal. VI. 134. — V. 1. αἵ τε Jacobsius, cod. ἥ τε. — V. 2. ἐρχόμεναι Jacobsius, cod. ἐρχομένη.

Epigr. 110. Anth. Pal. VI, p. 136. Affert Suidas v. εἷμα ubi Πραξιδίκη legitur.

Epigr. 111. Anth. Pal. XI. 137.

Epigr. 112. Anth. Pal. VI. 143. — V. 3. κρείοντι Brunckius, cod. κρειόεντι.

### 113. [Ep. 13.]

*Τελλίᾳ ἱμερόεντα βίον πόρε, Μαιάδος υἱέ,*
*ἀντ' ἐρατῶν δώρων τῶνδε χάριν θέμενος·*
*δὸς δέ μιν εὐθυδίκων Εὐωνυμέων ἐνὶ δήμῳ*
*ναίειν αἰῶνος μοῖραν ἔχοντ' ἀγαθήν.*

### 114. [Ep. 16.]

*Καὶ σέ, Κλεηνορίδη, πόθος ὤλεσε πατρίδος αἴης*
*θαρσήσαντα Νότου λαίλαπι χειμερίῃ·*
*ὥρη γάρ σε πέδησεν ἀνέγγυος· ὑγρὰ δὲ τὴν σήν*
*κύματ' ἀφ' ἱμερτὴν ἔκλυσεν ἡλικίην.*

### 115. [Ep. 19.]

*Ἀλκίμων σ', ὠριστοκλείδη, πρῶτον οἰκτείρω φίλων,*
*ὤλεσας δ' ἥβην, ἀμύνων πατρίδος δουλητίην.*

### 116. [Ep. 12.]

*Βωμοὺς τούςδε θεοῖς Σοφοκλῆς ἱδρύσατο πρῶτος,*
*ὃς πλεῖστον Μούσης εἷλε κλέος τραγικῆς.*

### 117. [Ep. 17.]

*Βουκόλε τὰν ἀγέλαν πόῤῥω νέμε, μὴ τὸ Μύρωνος*
*βοΐδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς.*

### 118. [Ep. 18.]

*Βοΐδιον οὐ χοάνοις τετυπωμένον, ἀλλ' ὑπὸ γήρως*
*χαλκωθὲν, σφετέρῃ ψεύσατο χειρὶ Μύρων.*

---

Epigr. 113. Anth. Pal. VI. 346. — V. 1. *Τελλίᾳ ἱμερόεντι* Reiskius, cod. *Τελειαι ἡμερόεντα.*

Epigr. 114. Anth. Pal. VII. 263. — V. 2. *θαρσήσαντα* Planudes, cod. *θαρσήσαντι.* — V. 3. *ἀνέγγυος* Planudes, cod. *ἀνέγκυος.*

Epigr. 115. Anth. Pal. XIII. 4. — V. 2. *δουλήΐην* Jacobsius, alii, vulgo *δουλείην.* Videtur non tam epigramma, quam majoris alicujus carminis exordium esse.

Epigr. 116. Anth. Pal. VI. 146. — V. 2. *εἶδε,* cod. *εἶχε.* Non est Anacreontis epigramma.

Epigr. 117. Anth. Pal. IX. 715. Et hoc et subsequens epigramma Anacreonti abjudicandum.

Epigr. 118. Anth. Pal. IX. 716.

119. [130.]

Strabo XIV. p. 633.: *Τέω δὲ Ἀθάμας μὲν πρότερον (ἔκτισεν) διόπερ Ἀθαμαντίδα καλεῖ αὐτὴν Ἀνακρέων.* Eadem Stephan. Byz. v. *Τέως.*

120. [133.]

Plato Theag. p. 125, D.: *ΣΩ. Ταῦτ' ἔστιν, ἅπερ ἔφη Ἀνακρέων τὴν Καλλικρίτην ἐπίστασθαι· ἢ οὐκ οἶσθα τὸ ᾆσμα· ΘΕ. ἔγωγε. ΣΩ. Τί οὖν; τοιαύτης τινὸς καὶ σὺ ξυνουσίας ἐπιθυμεῖς ἀνδρός, ὅστις τυγχάνει ὁμότεχνος ὢν Καλλικρίτῃ τῇ Κυάνης, καὶ ἐπίσταται τυραννικά, ὥςπερ ἐκείνην ἔφη ὁ ποιητής, ἵνα καὶ σὺ ἡμῖν τύραννος γένῃ καὶ τῇ πόλει.*

121. [134.]

Schol. Apoll. Rhod. I. p. 789.: *Καλῆς δι' ἀναστάδος, ἣν ἡμεῖς προπαστάδα λέγομεν· εἴρηται δὲ οὕτως διὰ τὸ ἐν αὐτῇ σιτᾶσθαι ἡμᾶς οἱονεὶ πάσασθαι· καλῆς δέ, ἤτοι ὅτι βασίλεια τὰ οἰκήματα ἢ ὅτι ἐρωτικά· τοιαῦτα γὰρ τὰ τῶν ἐρώντων· ὡς καὶ Ἀνακρέων ἐπὶ ἐρωμένης φησίν.* Anacreontis locus excidit.

122. [135.]

Maximus Tyr. VIII. p. 96.: *Ἡ δὲ τοῦ Τηΐου σοφιστοῦ τέχνη τοῦ αὐτοῦ ἤθους καὶ τρόπου· καὶ γὰρ πάντων ἐρᾷ τῶν καλῶν καὶ ἐπαινεῖ πάντας — καὶ αὖθις καλὸν εἶναι τῷ ἔρωτι τὰ δίκαιά φησι.*

123. [136.]

Athen. I. p. 12, A.: *Παρ' ὅλην δὲ τὴν συνουσίαν παρέκειντο αἱ τράπεζαι πλήρεις, ὡς παρὰ πολλοῖς τῶν βαρβάρων ἔτι καὶ νῦν ἔθος ἐστί, κατηρεφέες παντοίων ἀγαθῶν, κατὰ Ἀνακρέοντα.*

124. [137.]

Gregor. Comment. in Hermog. p. 914. *Αἰσχρῶς κολακεύει τὴν ἀκοὴν ἐκεῖνα, ὅσα εἰσὶν ἐρωτικά· οἷον τὰ Ἀνακρέοντος, τὰ Σαπφοῦς· οἷον γάλακτος λευκοτέρα, ὕδατος ἁπαλωτέρα, πηκτίδος ἐμμελεστέρα, ἵππου γαυροτέρα, ῥόδων ἁβροτέρα, χρυσοῦ τιμιωτέρα, ἱματίου ἑανοῦ μαλακωτέρα.*

125. [138.]

Pollux VI, p. 107.: *Ἀνακρέων δὲ καὶ μύρτοις στεφανοῦσθαί φησι καὶ κοριάννοις καὶ αὐτῷ* (legas *λύγῳ*) *καὶ*

Ναυκρατίτῃ στεφάνῳ, σάμψυχος οὗτος ἦν, καὶ ἀνήττῳ, ὡς καὶ Σαπφὼ καὶ Ἀλκαῖος.

126. [139.]

**Himerius Orat. III. p. 426. ed. Wernsdf.:** Χαῖρε φίλον φάος χαρίεντι μειδιόον προσώπῳ· μέλος γάρ τι λαβὼν ἐκ τῆς λύρας εἰς τὴν σὴν ἐπιδημίαν προσᾴσομαι· ἡδέως μὲν ἂν πείσας καὶ αὐτοὺς τοὺς λόγους λύραν μοι γενέσθαι καὶ ποίησιν, ἵνα τι κατὰ σοῦ νεανιεύσωμαι, ὁποῖον Σιμωνίδης ἢ Πίνδαρος κατὰ Διονύσου καὶ Ἀπόλλωνος. Ἐπεὶ δὲ ἀγέρωχοί τε ὄντες καὶ ὑψαυχένες ἄφετοί τε καὶ ἔξω μέτρων ἀθύρουσιν, ὀλίγα παρακαλέσας τὴν ποίησιν δοῦναί μοί τι μέλος Τήϊον· ταύτην γὰρ φιλῶ τὴν Μοῦσαν· ἐκ τῶν ἀποθέτων τῶν Ἀνακρέοντος τοῦτόν σοι φέρων τὸν ὕμνον ἔρχομαι, καί τι καὶ αὐτὸς προσθεὶς τῷ ᾄσματι· Ὦ φάος Ἑλλήνων καὶ τῶν ὅσοι Παλλάδος ἱερὸν δάπεδον Μουσάων τε ἄλση νεμόμεθα.

127. [140.]

**Himerius IV. p. 458. ed. Wernsdf.:** Φέρε οὖν, ἐπειδὴ καὶ ἡμᾶς, ὦ παῖδες, ὥσπερ τις θεός, ὅδε ὁ ἀνὴρ φαίνει, οἵους ποιηταὶ πολλάκις εἰς ἀνθρώπων εἴδη μορφάς τε ποικίλας ἀμείβοντες πόλεις τε εἰς μέσας καὶ δήμους ἄγουσιν, ἀνθρώπων ὕβριν τε καὶ ἀνομίην ἐφέποντας, οἵαν Ὅμηρος μὲν Ἀθηνᾶν, Διόνυσον δὲ Ἀνακρέων Εὐριπίδης τε ἔδειξαν.

128. [143.]

**Photius p. 570, 13.:** Ταντάλου τάλαντα· πλούσιος ὁ Φρὺξ Τάνταλος διαβεβόητο, Πλουτοῦς καὶ Διὸς λεγόμενος· κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Ἀνακρέων ἐν γ΄. γέγονε δὲ παρὰ τὸ ὄνομα τάλαντα, ὡς καὶ παρὰ τῷ κωμικῷ εἴρηται· Τὰ Ταντάλου τάλαντα ταντταλίζεται. **Cf. Apostol. XVIII. 14. et Suidas v.** Τὰ Ταντάλου τάλαντα.

129. [144.]

**Zenobius V. 20.:** Μέγα φρονεῖ μᾶλλον ἢ Πηλεὺς ἐπὶ τῇ μαχαίρᾳ· Μέμνηται ταύτης Ἀνακρέων· καὶ Πίνδαρος ἐν Νεμεονίκαις· φασὶ δὲ αὐτὴν ὑπὸ Ἡφαίστου γενομένην δῶρον Πηλεῖ σωφροσύνης ἕνεκα παρὰ τῶν θεῶν δοθῆναι· ᾗ χρώμενος πάντα κατώρθου καὶ ἐν ταῖς μάχαις καὶ ἐν ταῖς θήραις.

130. [12.]

**Himerius XIV. p. 612.**: *Νῦν ἔδει μοι Τηΐων μελῶν· νῦν ἔδει μοι τῆς Ἀνακρέοντος λύρας, ἣν ὅταν ὑπὸ παιδικῶν ἐκεῖνος ὑπεροφθῇ ποτε, καὶ κατ' αὐτῶν Ἐρώτων οἶδεν ἐργάσασθαι· εἶπον ἂν πρὸς αὐτοὺς τὰ ἐκείνου ῥήματα· Ὑβρισταὶ καὶ ἀτάσθαλοι καὶ οὐκ εἰδότες, ἐφ' οὓς τὰ βέλη κυκλώσεσθε· τάχα δ' ἂν καὶ ἠπείλησα τὴν ἀπειλήν, ἣν Ἀνακρέων ἀπειλεῖ τοῖς Ἔρωσιν· ἐκεῖνος γάρ ποτε ἐρασθεὶς ἐφήβου καλοῦ, ἐπειδήπερ ἑώρα τὸν ἔφηβον ὀλίγον αὐτοῦ φροντίζοντα, λύραν ἁρμόσας ἠπείλει τοῖς Ἔρωσιν, εἰ μὴ αὐτῷ τιτρώσκοιεν αὐτίκα τὸν ἔφηβον, μηκέτι μέλος εὔφημον εἰς αὐτοὺς ἀνακρούσασθαι.*

131. [13.]

**Schol. Hom. Il. XIX. 21.**: *Ἐν ἑαυτῷ τι πρᾶγμα τὴν ὑποβολὴν ἔχον, ὑπεροχὴν οὐκ ἐπιδέχεται μείζονα· καὶ Ἀνακρέων· κωμάζει δέ, ὡς ἂν δεῖ, Διόνυσος, αὐτὸν αὐτῷ συγκρίνας.* **Scribendum videtur:**

*. . . κωμάσει δ',*
*ὡς ἂν δεῖ, Διόνυσος.*

132. [109.]

**Orion p. 3.**: *Ἁβρός, ὁ κούφως βαίνων, κατὰ στέρησιν τοῦ βάρους· οὕτως ἐν ὑπομνήματι Ἀνακρέοντος εὗρον.*

133. [96.]

**Hesychius** *Αἰθιόπαιδα· τὸν Διόνυσον. Ἀνακρέων. ἄλλοι τὸν οἶνον, ἄλλοι τὴν Ἄρτεμιν·* **cod.** *Αἰθιοπεῖς παῖδα.* **Corrigas:** *Αἰθοπίης παῖδα.*

134. [125.]

**Etym. M. p. 514, 28.**: *Κινάκη, ὁ ἀκινάκης παρὰ Σοφοκλεῖ· τὸ μὲν γὰρ Ἀνακρεόντειον χωρὶς τοῦ ἰῶτα γράφεται καὶ γέγονεν ἔκθλιψις τοῦ ἰῶτα, καὶ κράσει τοῦ ωα τῴκινάκη, ὥσπερ ὦ Ἄπολλον Ὤπολλον.* **Fortasse quod ibidem legitur** *σὺν τῇδε τῇστραπῇ,* **item Anacreontis est.**

135. [110.]

**Grammat. Bekk. Anecd. T. I. p. 373. 18.**: *Ἀκταινῶσαι· ἀντὶ τοῦ ὑψῶσαι καὶ ἐξᾶραι καὶ μετεωρίσαι· πεποίηται δὲ οὕτως· ἔστι δένδρον, ὃ καλεῖται ἀκτή, ἀφ' οὗ τὰ ἀκόντια τέμνεται· οὕτως Ἀνακρέων.*

136. [97.]

Etymol. M. p. 703. 28.: *Ῥῆγος, τὸ πορφυροῦν περιβόλαιον. — ὅτι δὲ ῥεγεῖς ἔλεγον τοὺς βαφεῖς καὶ ῥέγος τὸ βάμμα σαφὲς Ἀνακρέων ποιεῖ· Ἁλιπόρφυρον ῥέγος.* Similia Etymol. Gud. p. 492. 52. (ubi *ῥῆγος* scribitur) et Zonaras p. 1608.

137. [111.]

Hesychius: *Ἄμιθα· ἔδεσμα ποιὸν καὶ ἄρτυμα, ὡς Ἀνακρέων.*

138.

Eustathius p. 1538. 50.: *Ὅθεν ἀνήλατός φησι παρὰ Ἀνακρέοντι ὁ ἀπειθής.*

139. [112.]

Hesychius: *Αὐτάγητοι· ἀγάμενοι ἑαυτὰς καὶ θαυμαστῶς ἔχουσαι ἑαυτῶν· Ἴων Ἀλκμήνῃ· ἔνιοι δὲ αὐθάδεις. καὶ Ἀνακρέων οὕτω κέχρηται.*

140. [113.]

Athenaeus IV. p. 182, F.: *Τὸν γὰρ βάρωμον καὶ βάρβιτον, ὧν Σαπφὼ καὶ Ἀνακρέων μνημονεύουσι, καὶ τὴν μάγαδιν καὶ τὰ τρίγωνα καὶ τὰς σαμβύκας ἀρχαῖα εἶναι.* Cf. ibid. p. 175, D.

141. [114.]

Eustath. p. 932. 1.: *Καὶ ὅτι τοὺς οὕτως ἔζοντας ἐπ' ἀμφοτέρους πόδας καὶ γονυκρότους τηνικαῦτα δριμέως ἐστὶ προςειπεῖν, καθὰ καὶ οἱ παλαιοὶ δηλοῦσιν, ἐν οἷς φασίν, ὅτι γονύκροτοι οἱ βλαισοί· Ἀνακρέων δὲ κέχρηται ἐπὶ δειλῶν.*

142. [115.]

Pollux III. 49.: *Ἀνακρέων δὲ διτόκον τὴν δὶς τεκοῦσαν.*

143. [116.]

Etymol. M. p. 385. 9.: *Ἐσυνῆκεν· Ἀλκαῖος ἐσυνῆκε καὶ Ἀνακρέων ἐξυνῆκεν πλεονασμῷ.*

144. [117.]

Schol. Arist. Acharn. 1098.: *Διὰ τὸ θερμαίνειν οὖν τὸ στῆθος θωρήσσειν λέγουσιν τὸ μεθύειν καὶ θώρακας τοὺς ἀκρομεθύσους ἐκάλουν· κέχρηται δὲ τῇ λέξει καὶ Ἀνακρέων· ἐστὶ δὲ Ἀττική.* Cf. Suidas v. *θωρήξασθαι* et Zonaras p. 1068.

145. [141.]

**Pollux III. 98.:** *Τὸ γὰρ ἥδιον Ἰωνικὸν καὶ τὸ ἧ δ ε* (unus cod. *ἧ σ ε ν*) *σπάνιον μὲν παρ' ἡμῖν, Ἀνακρέων δ' αὐτὸ εἴρηκεν, Ἴων καὶ ποιητὴς ἀνήρ.*

146. [118.]

**Apollonius Dysc. in Bekkeri Anecd. T. II. p. 572, 14.:** *Τούτοις δὲ ἐπιστήσας ὁ Τρύφων ἐζήτει περὶ τοῦ μεγαλωστί, ἱ ρ ω σ τ ὶ παρὰ Ἀνακρέοντι.* **Cf. Schol. Il. XVIII. 26.**

147. [119.]

**Pollux V. 96.:** *Σὺ δ' ἂν προσϑείης — καὶ κ ά λ υ κ α ς παρ' Ὁμήρου τε καὶ Ἀνακρέοντος.*

148.

**Etymol. Gud. p. 339, 26.:** *Κορώνη τὸ ὄρνεον παρὰ τὸ καῦρον, ὃ σημαίνει τὸ κακόν· Ἀνακρέων κ ό ρ ω ν α β α ί ν ω ν φησί.*

149. [120.]

**Pollux II, 103.:** *Καὶ τὰ ῥήματα πτύειν καὶ ἀποπτύειν, καταπτύειν, κατάπτυστον, ἀπόπτυστον· Ἀνακρέων δὲ καὶ κ α τ α π τ ύ σ τ η ν εἴρηκε.*

150. [121.]

**Eustath. p. 1654, 12.:** *Ὥσπερ καὶ κ λ ά ς φησι παρὰ Ἀνακρέοντι.*

151. [99.]

**Schol. Hesiod. Op. 371.:** *Κωτίλλουσα δὲ σημαίνει ἡδέα λέγουσα· καὶ γὰρ τὴν χελιδόνα κωτίλλειν λέγει, ὡς ἔστι παρὰ Ἀνακρέοντι· κ ω τ ί λ η χ ε λ ι δ ώ ν.* **Cf. Tzetz. ibid.**

152. [100.]

**Schol. Aeschyl. Pers. 41.:** *Ἀβροδίαιτοι δὲ οὗτοι (Λυδοί), ὅϑεν καὶ τὸ παρὰ Ἀνακρέοντι· Λ υ δ ο π α ϑ ε ῖ ς τ ι ν ε ς ἀντὶ τοῦ ἡδυπαϑεῖς.* **Respicit Athenaeus XV. p. 690, C. Eustath. p. 1144, 14.**

153. 154. 155. 156. [142.]

**Suidas v.** *Μυσάχνη ἡ πορνὴ παρὰ Ἀρχιλόχῳ — Ἀνακρέων δὲ π α ν δ ο σ ί α ν καὶ λ ε ω φ ό ρ ο ν καὶ μ α ν ι ό κ η π ο ν· κῆπος γὰρ τὸ μόριον·* **Adde Eustath. p. 1329, 34.:** *Καὶ μὴν ὁ Ἀνακρέων τὴν τοιαύτην οὐ πάνυ σφοδρῶς, ἀλλὰ περιεσκεμμένως*

*πανδοσίαν ὠνείδισε καὶ λεωφόρον καὶ πολύυμνον.* Et idem p. 1088. 37. 10. 82. 46. et 862. 45. *πανδοσία* et *λεωφόρος* ex Anacreonte affert, et p. 1572, 43, et 1516, 22., denique p. 536. 22. *μανιόκηπος*, sed hoc comico poetae tribuit.

157. [124.]

Schol. Apoll. Rhod. II, 127.: *Παμφαλᾶν γὰρ τὸ μετὰ πτοιήσεως καὶ ἐνθουσιασμοῦ ἐπιβλέπειν, κέχρηται δὲ τῇ λέξει καὶ Ἱππῶναξ καὶ Ἀνακρέων.*

158. [101.]

Pollux VI. 23.: *Καὶ οἰνηρὸς θεράπων παρὰ Ἀνακρέοντι.*

159. [102.]

Pollux VI. 21.: *Καὶ οἰνοπότης καὶ οἰνοπότις γυνὴ ὡς Ἀνακρέων.*

160.

Servius Virg. Aen. I, 749.: „Bibebat amorem. Allusit ad convivium. Sic Anacreon: *Ἔρωτα πίνων.*“

161. [103.]

Hesychius: *Γυναῖκες εἰλίποδες· διὰ τὴν δέσιν τῶν σκελῶν καὶ πλοκὴν τὴν κατὰ τὴν συνουσίαν· καὶ Ἀνακρέων· Πλέξαντες μηροῖσι παρὰ μηρούς.* Scribendum puto:

*Πλέξαντες μηροῖς πέρι μηρούς* * *

162. [104.]

Schol. Apoll. Rhod. III. 106.: *Ἀνακρέων δὲ ἐπὶ τάχους ἔταξε τὸ ῥαδινόν· Ῥαδινοὺς πώλους.*

163. [105.]

Grammat. in Bekk. Anecd. T. III. p. 1287.: *Σημειούμεθα παρὰ τῷ ποιητῇ τό· τά μοι ῥερυπωμένα κεῖται — καὶ τὸ ῥεραπισμένα νώ παρὰ τῷ Ἀνακρέοντι.* Scribendum *ῥεραπισμένα νῶτα.* Cf. Schol. Hom. Od. ζ, 59.: *Ἐστὶ δὲ καὶ παρὰ Ἀνακρέοντι ὁ ῥεραπισμένῳ νάτῳ.* et Crameri Anecd. T. IV. p. 415, 4.: *ῥεραπισμένω νῶτον.* Herodianus in Aldi Cornu cop. p. 194.: *ῥεραπισμένων ὤτων.* Adde Crameri Anecd. IV. p. 185, 17. et An. Paris. IV. p. 226, 17.

164. [126.]

Etymol. M. p. 707, 47.: *Καὶ σαλαΐζειν Ἀνακρέων ἐπὶ τοῦ θρηνεῖν.* Cf. Orion p. 148, 5.

165. [106.]

Clemens Alex. Paedag. III. p. 294.: *Τὸ γὰρ ἁβροδίαιτον τῆς περὶ τὸν περίπατον κινήσεως καὶ τὸ σαῦλα βαίνειν, ὥς φησὶν Ἀνακρέων, κομιδῇ ἑταιρικά.*

166. [107.]

Schol. Apoll. Rhod. III. 120.: *Μάργος Ἔρως· κατὰ μετωνυμίαν ὁ μαργαίνειν ποιῶν — καὶ Ἀνακρέων Τακερὸς δ' Ἔρως.*

167. [108.]

Servius Virgil. Aen. XI. 550.: „Anacreon *φορτίον ἔρωτος*, id est onus amoris.“ Scribendum videtur *φόρτον Ἔρωτος.*

168. [127.]

Schol. Hom. Il. *ν*, 227.: *Ὕμνον γὰρ καὶ Ἀνακρέων τὸν θρῆνόν φησιν.* Cf. Eustath. p. 928, 63.

169. [128.]

Herodianus *περὶ μον. λέξ.* p. 11.: *Φίλλος, παρὰ Ἀνακρέοντι τὸ ὄνομα.*